



REUSCHEN
TILEGO-
NA


UNIVERSITY OF TORONTO
VELUT ARBOR ÆVO



# Antilegomena

## Die Reste der aufserkanonischen Evangelien und urchristlichen Überlieferungen

herausgegeben und übersetzt

von

ERWIN PREUSCHEN



Zweite umgearbeitete und erweiterte Auflage

ALFRED TÖPELMANN
(vormals J. Ricker'sche Verlagsbuchhandlung)
GIESZEN 1905

MEINEM FREUNDE

P. CORSSEN

ZUM DANK



## AUS DEM VORWORT ZUR ERSTEN AUFLAGE.

Eine Sammlung der erhaltenen Reste der altchristlichen Evangelienliteratur schien mir, trotzdem schon mehrere Versuche aus früherer Zeit vorliegen, erwünscht zu sein. Die sehr verdienstliche Sammlung, die A. Hilgenfeld im 4. Hefte seines Novum Testamentum extra canonem receptum, ed. 2, 1884, veranstaltet hat, ließe sich heute leicht erweitern. Zudem schien es mir praktischer, die Fragmente ohne Kommentar zusammenzustellen. Außerdem sind noch die Sammlungen von Th. Zahn in seiner Geschichte des neutestamentlichen Kanons II, 2 und in den Forschungen zur Geschichte des neutestamentlichen Kanons VI, sowie die von E. Nestle in seinem Supplementum Novi Testamenti 1896 zu nennen. Ich habe mich bemüht, alles, was zu Arbeiten auf diesem Gebiete notwendig erschien, zusammenzutragen und die Texte nach den besten Ausgaben mit Angabe der wichtigen Varianten mitzuteilen. Daß ich Unsicheres beiseite gelassen und bei Justin und den Pseudoclementinen leise Anklänge nicht notiert habe, wird man mir nicht verargen. . . .

Da sich mancher für diese Stoffe interessieren wird, dem eine Kenntnis der Ursprachen abgeht, hielt ich es für zweckmäßig, eine deutsche Übersetzung hinzuzufügen. Sie mag zugleich ein Lexidion ersetzen, das auch dem Studenten erwünscht sein mochte. So empfehle ich denn diese Sammlung allen Freunden der urchristlichen Überlieferung. Das, was hier aus kleinen Tümpeln zusammengeleitet ist, lief einst als Strom neben der kirchlichen Überlieferung in der Kirche einher. Vielleicht findet der eine oder andere darin auch heute noch einen Tropfen Wasser, der es verdient, vor dem Verschüttetwerden bewahrt zu bleiben.

Darmstadt, am Palmsonntag 1901.

Erwin Preuschen.

---

## VORWORT ZUR ZWEITEN AUFLAGE.

Die einzelnen Stücke sind nochmals sorgfältig revidiert worden. Bei den aus Euseb entnommenen habe ich den kritischen Apparat gestrichen, da ich hierfür einfach die Ausgabe von Schwartz, deren

Text ich gebe, hätte plündern müssen. Das zu tun, widerstrebte mir, zumal ich voraussetzen kann, daß, wer mit diesen Texten kritisch arbeitet, auch diese Musterausgabe des Eusebius besitzt. Die Übersetzungen habe ich großenteils umgearbeitet und zahlreiche Versehen ausgemerzt. Ich habe erwogen, ob sie nicht im Hinblick auf die vortreffliche Übersetzung der neutestamentlichen Apokryphen, die inzwischen unter der sachkundigen Leitung von E. Hennecke erschienen ist (Tübingen, Mohr 1904), ganz wegbleiben sollte. Die Rücksicht darauf, daß das Buch weiteren Kreisen in dieser Doppelgestalt bekannt geworden ist, hat mich veranlaßt, sie beizubehalten.

Neu hinzugekommen sind die neuen Logia, das von Grenfell und Hunt veröffentlichte Evangelienfragment, die Zitate der syrischen Didaskalia, der von Schmidt veröffentlichte Auferstehungsbericht, das von Jacoby besprochene Fragment und das von Deißmann angezweifelte ägyptische Fragment; die beiden letzteren habe ich aus leicht begreiflichen Gründen in den Anhang verwiesen. Stark vermehrt ist die Zahl der Agrapha, womit ich nicht sagen will, daß ich die hinzugekommenen für echt halte.

Den Titel des Werkes, an dem viele meiner Kritiker Anstoß genommen haben, zu ändern, sah ich keinen Anlaß. Es hätte für mich keines Hinweises darauf bedurft, daß die Bezeichnung „Antilegomena“ hier in anderm Sinne gebraucht ist, als dem von Euseb in die Kanonsgeschichte eingeführten. Aber man hätte doch bedenken sollen, daß das Wort auch eine Grundbedeutung hat, und daß es wohl erlaubt sein wird, den Titel nach dieser Grundbedeutung zu bestimmen. Was ich sammeln wollte, sind Überlieferungen, die in der Kirche „Widerspruch erfahren haben“; darum habe ich sie kurz und bündig „Antilegomena“ genannt und zur Verhütung von Mißverständnissen noch den Untertitel beigefügt.

Der Absatz, den diese kleine Sammlung trotz ihrer mir nicht unbekannten Mängel gefunden hat, scheint zu beweisen, daß sie einem Bedürfnis entgegengekommen ist. Hoffentlich erfüllt sie auch in der neuen Gestalt ihren Zweck und trägt dazu bei, ein Gebiet etwas zu erhellen, in dem nur allzuwenig Lichtstrahlen das Dunkel durchbrechen.

Darmstadt, am Palmsonntag 1905.

Erwin Preuschen.

# INHALTSVERZEICHNIS.



*) Die Ziffern der zweiten Reihe weisen auf die Übersetzungen.

# VERZEICHNIS DER BENUTZTEN QUELLEN

(soweit sie nicht am betr. Ort namhaft gemacht sind).

CLEMENS Alexandrinus für Pädag.: Clemens Alex. hgg. von Otto Stählin I. Leipzig 1905. Für die Strom.: ed. G. Dindorf Oxonii 1869.

CLEMENTINA ed. P. de Lagarde. Leipzig 1865.

CYRILLUS Hierosolymitanus edd. Reischl et Rupp. Monaci 1848. 1860. [Dazu die armenische Übersetzung. Wien 1832.]

EPIPHANIUS ed. G. Dindorf. Lipsiae 1859—1862.

EUSEBIUS, Kirchengeschichte, bearb. von Schwartz u. Mommsen. Leipz. 1903.

HIERONYMUS, opera ed. Vallarsi, Venetiis 1766 sqq.
  de uiris inlustribus ed. Richardson in d. Texten und Unters. XIV; Leipzig 1896.

HIPPOLYTUS, Philosophumena edd. Duncker et Schneidewin, Gottingae 1859.

HOLL, K., Fragmente vornicanischer Kirchenväter aus den Sacra Parallela (Texte u. Unters. XX, 2). Leipzig 1899.

IRENAEUS ed. Stieren, Lipsiae 1848.

JUSTINI opera III. ed. Otto, Jenae 1876 sqq.

METHODIUS, Symposion ed. Jahn, Halis, 1865.

ORIGENES, Contra Celsum, de oratione hgg. von Koetschau. Leipzig 1899.
  Homiliae in Jeremiam hgg. von Klostermann, Leipzig 1901.
  Commentar zu Johannes hgg. von Preuschen, Leipzig 1904.
  Commentar zu Matthaeus ed. Lommatzsch, Berolini 1834. [Dazu eigene Kollation des Codex Monac. 191.]
  Vetus interpres in Matthaeum bei de la Rue III.
  Homiliae in Lucam nach eigner Kollation des Cod. Florent. Laur. S. Marco 611.

PATRES apostolici edd. Gebhardt, Harnack, Zahn, Lipsiae 1876. — The apostolic Fathers edd. Lightfoot-Harmer, Textausgabe, London 1893.

PHOTIUS, Bibliotheca ed. Bekker, 1824.

THEODORETUS, opera ed. Noesselt. Halis 1768 sqq.

v. = andere Lesart.

# I. ORIGENES ÜBER APOKRYPHE EVANGELIEN.

Homilia in Lucam I.

Τάχα δὲ καὶ τὸ „ἐπεχείρησαν“ λεληθυῖαν ἔχει κατηγορίαν τῶν προπετῶς καὶ χωρὶς χαρίσματος ἐλθόντων ἐπὶ τὴν ἀναγραφὴν τῶν εὐαγγελίων. Ματθαῖος γὰρ οὐκ „ἐπεχείρησεν“, ἀλλ' ἔγραψεν ἐξ ἁγίου κινούμενος πνεύματος, ὁμοίως καὶ Μάρκος καὶ Ἰωάννης· παραπλησίως δὲ καὶ Λουκᾶς. τὸ μέντοι ἐπιγεγραμμένον „Κατὰ Αἰγυπτίους“ εὐαγγέλιον καὶ τὸ ἐπιγεγραμμένον „Τῶν Δώδεκα“ εὐαγγέλιον οἱ συγγράψαντες „ἐπεχείρησαν“. φέρεται δὲ καὶ τὸ „Κατὰ Θωμᾶν“ εὐαγγέλιον.

Ἤδη δὲ ἐτόλμησε καὶ Βασιλείδης γράψαι „Κατὰ Βασιλείδην“ εὐαγγέλιον. πολλοὶ μὲν οὖν „ἐπεχείρησαν“ καὶ [τὸ] „Κατὰ Μαθίαν“ καὶ ἄλλα πλείονα· τὰ δὲ τέσσαρα μόνα προκρίνει ἡ τοῦ θεοῦ ἐκκλησία.

Hoc quod ait „conati sunt“ latentem habet accusationem eorum, qui absque gratia spiritus sancti ad scribenda euangelia prosiluerunt. Matthaeus quippe et Marcus et Joannes et Lucas non sunt „conati“ scribere, sed spiritu sancto pleni scripserunt euangelia. „Multi“ igitur „conati sunt ordinare narrationem de his rebus, quae manifestissime cognitae sunt in nobis“. ecclesia quatuor habet euangelia, haeresis plurima, e quibus quoddam scribitur „Secundum Aegyptios“, aliud „Iuxta duodecim apostolos.“

Ausus fuit et Basilides scribere euangelium et suo illud nomine titulare. „Multi conati sunt“ scribere, sed et „multi conati sunt ordinare“: quatuor tantum euangelia sunt probata, e quibus sub persona domini et saluatoris nostri proferenda sunt dogmata. scio quoddam euangelium, quod appellatur „Secundum Thomam“ et „Iuxta Matthian“: et alia plura legimus, ne quid ignorare videremur propter eos, qui se putant scire aliquid, si ista cognouerint.

## II. RESTE DES ÄGYPTEREVANGELIUMS.

(Εὐαγγέλιον κατ' Αἰγυπτίους.)

### I. Nachrichten.

**a.** Τὴν δὲ πᾶσαν αὐτῶν (τῶν Σαβελλιανῶν) πλάνην καὶ τὴν τῆς
5 πλάνης αὐτῶν δύναμιν ἔχουσιν ἐξ ἀποκρύφων τινῶν, μάλιστα ἀπὸ τοῦ καλουμένου Αἰγυπτίου εὐαγγελίου, ᾧ τινες τὸ ὄνομα ἐπέθεντο τοῦτο. ἐν αὐτῷ γὰρ πολλὰ τοιαῦτα ὡς ἐν παραβύστῳ [μυστηριωδῶς] ἐκ προσώπου τοῦ σωτῆρος ἀναφέρεται, ὡς αὐτοῦ δηλοῦντος τοῖς μαθηταῖς τὸν αὐτὸν εἶναι πατέρα, τὸν αὐτὸν εἶναι υἱόν, τὸν αὐτὸν εἶναι ἅγιον πνεῦμα. [Epiph.,
10 haer. 62, 2.]

**b.** Εἶναι δὲ φασὶ (die Naassener) τὴν ψυχὴν δυσεύρετον πάνυ καὶ δυσκατανόητον· οὐ γὰρ μένει ἐπὶ σχήματος οὐδὲ μορφῆς τῆς αὐτῆς πάντοτε οὐδὲ πάθους ἑνός, ἵνα τις αὐτὴν ἢ τύπῳ εἴπῃ ἢ οὐσίᾳ καταλήψηται. τὰς δὲ ἐξαλλαγὰς ταύτας τὰς ποικίλας ἐν τῷ ἐπιγραφομένῳ Κατ'
15 Αἰγυπτίους εὐαγγελίῳ κειμένας ἔχουσιν. [Hippolyt, Philos. V, 7 p. 136, 24 D.]

### II. Bruchstücke.

1. **a.** Ὅθεν εἰκότως περὶ συντελείας μηνύσαντος τοῦ λόγου ἡ Σαλώμη φησί· „Μέχρι τίνος οἱ ἄνθρωποι ἀποθανοῦνται"; (ἄνθρωπον δὲ καλεῖ ἡ γραφὴ διχῶς, τόν τε φαινόμενον καὶ τὴν ψυχήν,
20 πάλιν τε αὖ τὸν σωζόμενον καὶ τὸν μή. καὶ θάνατος ψυχῆς ἡ ἁμαρτία λέγεται.) διὸ καὶ παρατετηρημένως ἀποκρίνεται ὁ κύριος· μέχρις ἂν τίκτωσιν αἱ γυναῖκες". . . . [Clemens Alex., Strom. III, 9, 64]
**b.** τί δὲ οὐχὶ καὶ τὰ ἑξῆς τῶν πρὸς Σαλώμην εἰρημένων ἐπιφέρουσιν οἱ πάντα [l. παντὶ] μᾶλλον ἢ τῷ κατὰ τὴν ἀλήθειαν εὐαγγελικῷ στοι-
25 χήσαντες κανόνι; φαμένης γὰρ αὐτῆς· „καλῶς οὖν ἐποίησα μὴ τεκοῦσα", ὡς οὐ δεόντως τῆς γενέσεως παραλαμβανομένης, ἀμείβεται λέγων ὁ κύριος· „πᾶσαν φάγε βοτάνην, τὴν δὲ πικρίαν ἔχουσαν μὴ φάγῃς". . . . [Clemens l. c. 66] **c.** πυνθανομένης τῆς Σαλώμης πότε γνωσθήσεται [γενήσεται? Zahn] τὰ περὶ ὧν ἤρετο, ἔφη ὁ κύριος·
30 „ὅταν τὸ τῆς αἰσχύνης ἔνδυμα πατήσητε καὶ ὅταν γένηται τὰ δύο ἓν καὶ τὸ ἄρρεν μετὰ τῆς θηλείας οὔτε ἄρρεν οὔτε θῆλυ". πρῶτον μὲν οὖν ἐν τοῖς παραδεδομένοις ἡμῖν τέτταρσιν εὐαγγελίοις οὐκ ἔχομεν τὸ ῥητόν, ἀλλ' ἐν τῷ Κατ' Αἰγυπτίους. [Cassian bei Clemens Strom. III, 13, 92.]

35 [**d.** Τῇ Σαλώμῃ ὁ κύριος πυνθανομένῃ· „μέχρι πότε θάνατος ἰσχύσει"; οὐχ ὡς κακοῦ τοῦ βίου ὄντος καὶ τῆς κτίσεως πονηρᾶς

„μέχρις ἄν, εἶπεν, ὑμεῖς αἱ γυναῖκες τίκτητε“, ἀλλ' ὡς τὴν ἀκολουθίαν τὴν φυσικὴν διδάσκων· γενέσει γὰρ πάντως ἕπεται καὶ φθορά. [Clemens Al., Strom. III, 6, 45.]

e. Καὶ ὅταν ὁ σωτὴρ πρὸς Σαλώμην λέγῃ, μέχρι τότε εἶναι θάνατον, ἄχρις ἂν αἱ γυναῖκες τίκτωσιν, οὐ τὴν γένεσιν κακίζων ἔλεγεν ἀναγκαίαν οὖσαν διὰ τὴν σωτηρίαν τῶν πιστευόντων. (Clemens, Excerpta ex Theod. 67.)]

2. Οἱ δὲ ἀντιτασσόμενοι τῇ κτίσει τοῦ θεοῦ διὰ τῆς εὐφήμου ἐγκρατείας κἀκεῖνα λέγουσι τὰ πρὸς Σαλώμην εἰρημένα, ὧν πρότερον ἐμνήσθημεν. φέρεται δέ, οἶμαι, ἐν τῷ Κατ' Αἰγυπτίους εὐαγγελίῳ. φασὶ γὰρ ὅτι „αὐτὸς εἶπεν ὁ σωτήρ· ἦλθον καταλῦσαι τὰ ἔργα τῆς θηλείας.“ θηλείας μέν: τῆς ἐπιθυμίας, ἔργα δέ: γένεσιν καὶ φθοράν. [Clemens Alex., Strom. III, 9, 63.]

(3. Εἰ γὰρ ἦν παρὰ θεοῦ, εἰς ὃν σπεύδομεν, ἡ τοιαύτη διασκευή, οὐκ ἂν ἐμακάρισεν τοὺς εὐνούχους κτλ. [Clemens Al., Strom. III, 13, 91.] Vgl. ἡμεῖς εὐνουχίαν μὲν καὶ οἷς τοῦτο δεδώρηται ὑπὸ θεοῦ μακαρίζομεν, μονογαμίαν δὲ καὶ τὴν περὶ τὸν ἕνα γάμον σεμνότητα θαυμάζομεν κτλ. Strom. III, 1, 4.)

Vgl. unten die Fragmente aus dem Evangelium der Naassener Nr. 1, S. 12, 20 und die Zitate aus II Clemens S. 32 f.

## III. RESTE DES HEBRÄEREVANGELIUMS.

### I. Nachrichten.

**a.** Solo autem eo quod est secundum Matthaeum euangelio utuntur (Ebionaei) et apostolum Paulum recusant, apostatam eum legis dicentes. [Irenaeus I, 26, 2.]

**b.** Οὗτοι (die Ebioniten) δὲ τοῦ μὲν ἀποστόλου πάμπαν τὰς ἐπιστολὰς ἀρνητέας ἡγοῦντο εἶναι [δεῖν], ἀποστάτην ἀποκαλοῦντες αὐτὸν τοῦ νόμου, εὐαγγελίῳ δὲ μόνῳ τῷ καθ' Ἑβραίους λεγομένῳ χρώμενοι τῶν λοιπῶν σμικρὸν ἐποιοῦντο λόγον. [Eusebius, h. e. III, 27, 4.]

**c.** Καὶ ὑπομνήματα δὲ τοῦ Συμμάχου εἰσέτι νῦν φέρεται, ἐν οἷς δοκεῖ πρὸς τὸ κατὰ Ματθαῖον ἀποτεινόμενος εὐαγγέλιον τὴν δεδηλωμένην αἵρεσιν (der Ebioniten) κρατύνειν [Euseb., h. e. VI, 17.]

**d.** Ἤδη δ' ἐν τούτοις (den recipierten Schriften) τινὲς καὶ τὸ Καθ' Ἑβραίους εὐαγγέλιον κατέλεξαν, ᾧ μάλιστα Ἑβραίων οἱ τὸν Χριστὸν παραδεξάμενοι χαίρουσι. [Eusebius, h. e. III, 25, 5.]

**e.** Ἔκ τε τοῦ καθ' Ἑβραίους εὐαγγελίου καὶ τοῦ Συριακοῦ καὶ ἰδίως ἐκ τῆς Ἑβραΐδος διαλέκτου τινὰ τίθησιν (Hegesipp). [Eusebius, h. e. IV, 22, 8.]

f. Εὐαγγέλιον κατὰ Ἑβραίους στίχ. ,βς'. [Nicephor., Stichometr. s. Preuschen, Analecta S. 157, 49.]

Vgl. unten bei Papias und Hegesipp.

## II. Bruchstücke.

5 [1. (Mt. 2, 5). *In Bethlehem Iudaeae.*] Librariorum hic error est. putamus enim ab euangelista primum editum, sicut in ipso Hebraico (d. h. Micha 5, 1) legimus: *Iudae* non *Iudaeae.* [Hieronymus, in Mt. comm. I (VII, p. 14 Vallarsi.)]

2. (Mt. 2, 15. 23). Porro ipsum Hebraicum (sc. Mt.) habetur 10 usque hodie in Caesariensi bibliotheca, quam Pamphilus martyr studiosissime confecit. Mihi quoque a Nazaraeis, qui in Beroea [v. Byria, Veria, Berisa, Bersabee, hebrea] urbe Syriae, hoc uolumine utuntur, describendi facultas fuit. in quo animaduertendum, quod ubicumque euangelista siue ex persona sua, siue ex domini saluatoris 15 ueteris scripturae testimoniis [v. testimonio] abutitur, non sequitur septuaginta translatorum auctoritatem, sed hebraicam. E quibus illa dua sunt: *Ex Aegypto uocaui filium meum*; et: *Quoniam Nazaraeus uocabitur.* [Hieronymus, de uiris inl. 3.]

3. (Mt. 3, 13). In euangelio Iuxta Hebraeos, quod Chaldaico 20 quidem Syroque sermone, sed Hebraicis literis scriptum est, quo utuntur usque hodie Nazareni, secundum apostolos siue, ut plerique autumant, iuxta Matthaeum, quod et in Caesariensi habetur bibliotheca, narrat historia:

*Ecce mater domini et fratres eius dicebant ei: 'Ioannes baptista 25 baptizat in remissionem peccatorum; eamus et baptizemur ab eo.' Dixit autem eis: 'Quid peccaui, ut uadam et baptizer ab eo? nisi forte hoc ipsum, quod dixi, ignorantia est.'* [Hieronymus, Contra Pelag. III, 2 (II, 782 Vallarsi.)]

4. (Mt. 3, 16 f.). Sed iuxta euangelium, quod Hebraeo sermone 30 conscriptum legunt Nazaraei:

*descendet super eum omnis fons spiritus sancti.*

dominus autem spiritus est et ubi spiritus domini, ibi libertas.... porro in euangelio, cuius supra fecimus mentionem, haec scripta reperimus:

35 *Factum est autem, cum ascendisset dominus de aqua, descendit fons omnis spiritus sancti et requieuit super eum, et dixit illi: 'Fili mi, in omnibus prophetis expectabam te, ut uenires et requiescerem in te. tu*

*es enim requies mea, tu es filius meus primogenitus, qui regnas in sempiternum'.* [Hieronymus, in Is. comment. IV zu 11, 2 (IV, p. 156).]

5. (Mt. 4, 1. 8?) **a.** Ἐὰν δὲ προσιῆταί τις τὸ Καθ' Ἑβραίους εὐαγγέλιον, ἔνθα αὐτὸς ὁ σωτήρ φησιν·

Ἄρτι ἔλαβέ με ἡ μήτηρ μου τὸ ἅγιον πνεῦμα ἐν μιᾷ τῶν τριχῶν μου καὶ ἀπήνεγκέ με εἰς τὸ ὄρος τὸ μέγα Θαβώρ·

ἐπαπορήσει πῶς μήτηρ Χριστοῦ τὸ διὰ τοῦ λόγου γεγενημένον πνεῦμα ἅγιον εἶναι δύναται. [Origenes, Comment. in Ioh. II, 12, 87 S. 67, 19 ff. Pr.]. **b.** Εἰ δέ τις παραδέχεται τὸ

ἄρτι ἔλαβέ με ἡ μήτηρ μου τὸ ἅγιον πνεῦμα καὶ ἀνήνεγκέ με εἰς τὸ ὄρος τὸ μέγα τὸ Θαβὼρ καὶ τὰ ἑξῆς, δύναται αὐτοῦ ἰδεῖν τὴν μητέρα. [Origenes, hom. in Ierem. XV, 4 S. 128, 26 Kl.]

**c.** Qui legerit Canticum . . . credideritque euangelio, quod Secundum Hebraeos editum nuper transtulimus, in quo ex persona saluatoris dicitur:

*Modo tulit me mater mea, sanctus spiritus, in uno capillorum meorum* . . . [Hieronymus, comm. in Mich. 7, 7 (VI, p. 520).]

**d.** Sed et in euangelio, quod Iuxta Hebraeos scriptum Nazaraei lectitant, dominus loquitur:

*Modo me tulit mater mea spiritus sanctus.* [Hieron., Comm. in Is. 40, 9 sqq. (IV, p. 485).] **e.** In euangelio quoque Hebraeorum, quod lectitant Nazaraei, saluator inducitur dicens:

*Modo me arripuit mater mea, spiritus sanctus.* [Hieron., Comment. in Ezech. 16, 13 (V, p. 158).]

6. (Mt. 4, 5). Τὸ Ἰουδαϊκὸν οὐκ ἔχει· εἰς τὴν ἁγίαν πόλιν, ἀλλ' ἐν ἱερουσαλήμ. [Cod. ev. 566 cf. Tischendorf, Notitia Cod. Sinaitici p. 58.]

7. (Mt. 6, 11). **a.** In euangelio, quod appellatur Secundum Hebraeos, pro *supersubstantiali pane* reperi *mahar* (מָחָר), quod dicitur *crastinum*, ut sit sensus: „panem nostrum crastinum, i. e. futurum, da nobis hodie". [Hieron., Comm. in Mt. 6, 11 (VII, p. 34)]. **b.** In Hebraico euangelio secundum Matthaeum ita habet:

*Panem nostrum crastinum da nobis hodie.*

[Hieron., in Ps. 135 Comment. (Anecdota Maredsolana III, 2, 202).]

8. (Mt. 12, 9—13). In euangelio, quo utuntur Nazareni et Ebionitae, quod nuper in Graecum de Hebraeo sermone transtulimus, et quod uocatur a plerisque Matthaei authenticum, homo iste, qui aridam habet manum, caementarius scribitur, istiusmodi uocibus auxilium precans:

*Caementarius eram, manibus uictum quaeritans; precor te, Iesu, ut mihi restituas sanitatem, ne turpiter mendicem cibos.* [Hieron., Comm. in Mt. 12, 13 (VII, 77.)]

9. (Mt. 16, 17). Βαριωνᾶ] τὸ Ἰουδαϊκόν· υἱὲ Ἰωάννου [Cod. Ἰωάννο]. [Cod. ev. 566 Petrop. Muralt. 54 s. IX/X; Tischendorf, Notitia Cod. Sinait. p. 58.]

10. (Mt. 18, 21. 22). **a.** Et in eodem uolumine (d. h. euangelio secundum Hebraeos):

'*Si peccauerit*, inquit, *frater tuus in uerbo et satis tibi fecerit, septies in die suscipe eum.' dixit illi Simon, discipulus eius: 'Septies in die?' respondit dominus et dixit ei: 'Etiam ego dico tibi, usque septuagies septies. etenim in prophetis quoque, postquam uncti sunt spiritu sancto, inuentus est sermo peccati.'* [Hieron., Contra Pelag. III, 2 (II, p. 782 sq.).]
**b.** Τὸ Ἰουδαϊκὸν ἑξῆς ἔχει μετὰ τὸ ἑβδομηκοντάκις ἑπτά·

Καὶ γὰρ ἐν τοῖς προφήταις μετὰ τὸ χρισθῆναι αὐτοὺς ἐν πνεύματι ἁγίω εὑρίσκετο (Cod. εὑρισκέτω?, Zahn εὑρίσκεται) ἐν αὐτοῖς λόγος ἁμαρτίας. [Cod. ev. 566. Tischendorf l. c.].

11. (Mt. 19, 16ff.). Scriptum est in euangelio quodam, quod dicitur Secundum Hebraeos, si tamen placet suscipere illud, non ad auctoritatem sed ad manifestationem propositae quaestionis:

*Dixit*, inquit, *ad eum alter diuitum: 'Magister, quid bonum faciens uiuam?' dixit ei: 'Homo, leges* [Zahn: legem] *et prophetas fac.' respondit ad eum: 'Feci.' dixit ei: 'Vade, uende omnia quae possides et diuide pauperibus et ueni, sequere me'. coepit autem diues scalpere caput suum et non placuit ei. et dixit ad eum dominus: 'Quomodo dicis: legem feci et prophetas? quoniam scriptum est in lege: Diliges proximum tuum sicut teipsum; et ecce multi fratres tui, filii Abrahae, amicti sunt stercore, morientes prae fame et domus tua plena est multis bonis, et non egreditur omnino aliquid ex ea ad eos.' et conuersus dixit Simoni, discipulo suo sedenti apud se: 'Simon fili Ioanne* [lies: Ioannis], *facilius est camelum intrare per foramen acus, quam diuitem in regnum coelorum.'* [Origenes, Comm. in Mt. XV, 14 nach der alten lat. Übersetzung (III, p. 671 sq. de la Rue).]

12. (Mt. 21, 9). Denique Matthaeus, qui euangelium Hebraeo sermone conscripsit, ita posuit: *Osanna barrama* (אוֹשַׁעְנָא בְּרָמָא ܐܘܫܥܢܐ ܒܪܡܐ) i. e. Osanna in excelsis. [Hieron., ep. 20, 5 ad Damas. (I, p. 68).]

13. (Mt. 23, 35.) In euangelio, quo utuntur Nazareni, pro 'filio Barachiae'

*filium Jojadae*

reperimus scriptum. [Hieron., Comm. in Mt. 23, 35 f. (VII, p. 190D).] (Vgl. Ζαχαρίαν δὲ τὸν Ἰωδαὲ [al. Ἰωδανὲ] λέγει· διώνυμος γὰρ ἦν. Scholion bei Matthaei, Ev. Matth. Riga, 1788 p. 376.)

14. (Mt. 25, 14 ff.) Ἐπεὶ δὲ τὸ εἰς ἡμᾶς ἧκον Ἑβραϊκοῖς χαρακτῆρσιν εὐαγγέλιον τὴν ἀπειλὴν οὐ κατὰ τοῦ ἀποκρύψαντος ἐπῆγεν, ἀλλὰ κατὰ τοῦ ἀσώτως ἐζηκότος — τρεῖς γὰρ δούλους περιεῖχε, τὸν μὲν καταφαγόντα τὴν ὕπαρξιν τοῦ δεσπότου μετὰ πορνῶν καὶ αὐλητρίδων, τὸν δὲ πολλαπλασιάσαντα τὴν ἐργασίαν, τὸν δὲ κατακρύψαντα τὸ τάλαντον· εἶπε τε [Cod. εἶτα] τὸν μὲν ἀποδεχθῆναι, τὸν δὲ μεμφθῆναι μόνον, τὸν δὲ συγκλεισθῆναι δεσμωτηρίῳ — ἐφίστημι, μήποτε κατὰ τὸν Ματθαῖον μετὰ τὴν συμπλήρωσιν τοῦ λόγου τοῦ [Mai τὴν] κατὰ τοῦ μηδὲν ἐργασαμένου ἡ ἑξῆς ἐπιλεγομένη ἀπειλὴ οὐ περὶ αὐτοῦ, ἀλλὰ περὶ τοῦ προτέρου κατ' ἐπανάληψιν λέλεκται, τοῦ ἐσθίοντος καὶ πίνοντος μετὰ τῶν μεθυόντων. [Eusebius, Theophania (?) bei Mai, Noua Patr. bibl. IV, 1 (1847) p. 155.]

15. (Mt. 26, 74.) Τὸ Ἰουδαϊκόν:

Καὶ ἠρνήσατο καὶ ὤμοσεν καὶ κατηράσατο. [Cod. ev. 566. Tischendorf l. c.]

16. (Mt. 27, 16 f.) **a.** Iste (Barrabas) in euangelio, quod scribitur Iuxta Hebraeos

*Filius magistri eorum* (בַּר רַבָּן)

interpretatur, qui propter seditionem et homicidium fuerit condemnatus. [Hieron., Comm. in Mt. 27, 16 (VII, p. 229).] **b.** ὡς γὰρ ἔοικεν πατρωνυμία ἦν τοῦ λῃστοῦ ὁ Βαρραββᾶς, ὅπερ ἑρμηνεύεται „διδασκάλου υἱός". συντιθέμενον οὖν τὸ τοῦ Βαρραββᾶν ὄνομα σημαίνει· υἱὸς τοῦ διδασκάλου ἡμῶν. [Origenes, Scholion b. Gallandi XIV, app. p. 81.]

17. (Mt. 27, 51.) **a.** In euangelio, cuius saepe facimus mentionem,

*superliminare templi infinitae magnitudinis fractum esse atque diuisum*

legimus (v. legi). [Hieron., Comm. in Mt. 27, 51 (VII, p. 236 sq.).] **b.** In euangelio autem, quod Hebraicis literis scriptum est, legimus non 'uelum (פָּרֹכֶת) templi' scissum, sed

*superliminare* (כַּפְתֹּר?) *templi mirae magnitudinis corruisse.* [Hieron., ep. 120, 8 ad Hedib. (I, 831). Vgl. Nestle, Supplem. NT p. 79[1].]

18. (Mt. 27, 62. 1 Kor. 15, 7.) .... euangelium quoque, quod

appellatur Secundum Hebraeos et a me nuper in Graecum sermonem
Latinumque translatum est, quo et Origenes [v. Adamantius] saepe
utitur, post resurrectionem saluatoris refert:

*Dominus autem cum dedisset sindonem seruo sacerdotis, iuit ad*
5 *Iacobum et apparuit ei; iurauerat enim Iacobus se non comesurum panem*
*ab illa hora, qua biberat calicem domini, donec uideret eum resurgentem*
*a dormientibus;*

rursusque post paululum:

*Adferte, ait dominus, mensam et panem.*

10 statimque additur:

*Tulit panem et benedixit ac fregit et dedit Iacobo iusto et dixit ei:*
*'Frater mi, comede panem tuum, quia resurrexit filius hominis a dor-*
*mientibus.'* [Hieron., de uiris inl. 2.]

19. **a.** Ἐγὼ γὰρ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν
15 οἶδα καὶ πιστεύω ὄντα· καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἦλθεν, ἔφη
αὐτοῖς·

Λάβετε, ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώ-
ματον. καὶ εὐθὺς αὐτοῦ ἥψαντο καὶ ἐπίστευσαν κραθέντες τῇ σαρκὶ
αὐτοῦ καὶ τῷ αἵματι. [Ignatius, ad Smyrn. 3, 1. 2; auch zitiert von Euseb.
20 h. e. III, 36, 11.] **b.** Ignatius . . . scripsit . . . ad Smyrnaeos et proprie
ad Polycarpum . . . in qua et de euangelio, quod nuper a me trans-
latum est, super persona Christi ponit testimonium dicens: „Ego uero
et post resurrectionem in carne eum uidi et credo, quia sit; et quando
uenit ad Petrum et ad eos qui cum Petro erant, dixit eis: *Ecce pal-*
25 *pate me et uidete, quia non sum daemonium incorporale. Et statim*
*tetigerunt eum et crediderunt.* [Hieron., de uiris inl. 16.] **c.** Cum enim
apostoli eum putarent spiritum uel iuxta euangelium, quod Hebraeorum
lectitant Nazaraei, *incorporale daemonium* . . . [Hieron., Comm. in Is.
XVIII praef. (IV, p. 770).] **d.** Vgl. Origenes, de princ. I, prooem. 8:
30 Si uero quis uelit nobis proferre ex illo libello, qui Petri Doctrina
appellatur, ubi saluator uidetur ad discipulos dicere: *Non sum dae-*
*monium incorporeum*, primo respondendum est ei, quoniam ille liber
inter libros ecclesiasticos non habetur; <tunc> ostendendum, quia
neque Petri est scriptura neque alterius cuiusquam, qui spiritu dei
35 fuerit inspiratus.

20. Et in euangelio, quod Iuxta Hebraeos Nazaraei legere con-
sueuerunt, inter maxima ponitur crimina qui *fratris sui spiritum*
*contristauerit.* [Hieron., Comm. in Ez. 18, 7 (V, 207).]

21. Ut in hebraico quoque euangelio legimus dominum ad discipulos loquentem:

*Et numquam, inquit, laeti sitis, nisi cum fratrem uestrum uideritis in caritate.* [Hieron., Comm. in Eph. 5, 4 (VII, 641).]

22. **a.** Die Ursache der Seelenspaltung, die in den Häusern ge- 5 schehen werde, hat er gelehrt, wie wir es gefunden haben an einer Stelle in dem Evangelium, das bei den Juden (verbreitet) ist in hebräischer Sprache, in dem es heißt: ܐܓܒܐ ܠܝ [ܗܢܘܢ] ܫܦܝܪܝܢ. ܫܦܝܪܝܢ ܗܢܘܢ ܕܝܗܒ ܠܝ ܐܒܝ ܕܒܫܡܝܐ *Ich werde mir die Wohlgefälligen* [je die Besten: Greßmann] *erwählen*[; *die Wohlgefälligen sind* 10 *die,*] *die mir mein Vater im Himmel gibt* [Eusebius, Theophania (syr.) IV, 12 S. 183, 26 ff. Greßmann]. — **b.** . . . so erkennt man, welche Kraft er gebrauchte und daß er nicht nur die Zukunft voraussagte, sondern daß er auch die Tat fügte zu seinem Worte, hauptsächlich zu dem, was geschrieben steht: „*Ich wähle mir je die Besten aus, die mir* 15 *mein Vater im Himmel gibt.*" [Eusebius, Theophania IV, l. c. S. 184, 1 ff. Greßmann.]

23. Ἐκτέθειται (Papias) δὲ καὶ ἄλλην ἱστορίαν περὶ γυναικὸς ἐπὶ πολλαῖς ἁμαρτίαις διαβληθείσης ἐπὶ τοῦ κυρίου, ἣν τὸ Καθ' Ἑβραίους εὐαγγέλιον περιέχει. [Eusebius, h. e. III, 39 17. Vgl. 20 Ioh. 7, 53 ff.]

24. **a.** Ἴσον γὰρ τούτοις [Plato, Tim. p. 90] ἐκεῖνα δύναται·

οὐ παύσεται ὁ ζητῶν, ἕως ἂν εὕρῃ, εὑρὼν δὲ θαμβηθήσεται, θαμβηθεὶς δὲ βασιλεύσει, βασιλεύσας δὲ ἐπαναπαύσεται. [Clemens Al., Strom. V, 14, 96.] **b.** Ἡ κἂν τῷ Καθ' Ἑβραίους εὐαγγελίῳ 25

ὁ θαυμάσας βασιλεύσει γέγραπται, καὶ ὁ βασιλεύσας ἀναπαήσεται. [Clemens Al., Strom. II, 9, 45.] Vgl. Logia Jesu Nr. 10.

## IV. RESTE DES EVANGELIUMS DER EBIONITEN.

### I. Nachrichten.

**a.** Καὶ δέχονται μὲν καὶ αὐτοὶ τὸ Κατὰ Ματθαῖον εὐαγγέλιον. 30 τούτῳ γὰρ καὶ αὐτοί, ὡς καὶ οἱ κατὰ Κήρινθον καὶ Μήρινθον χρῶνται μόνῳ. καλοῦσι δὲ αὐτὸ Κατὰ Ἑβραίους, ὡς τὰ ἀληθῆ ἐστιν εἰπεῖν, ὅτι Ματθαῖος μόνος Ἑβραϊστὶ καὶ Ἑβραϊκοῖς γράμμασιν ἐν τῇ καινῇ διαθήκῃ ἐποιήσατο τὴν τοῦ εὐαγγελίου ἔκθεσίν τε καὶ κήρυγμα. ἤδη δέ που καί τινες πάλιν ἔφασαν καὶ ἀπὸ τῆς Ἑλληνικῆς διαλέκτου τὸ 35

κατὰ Ἰωάννην μεταληφθὲν εἰς Ἑβραΐδα ἐμφέρεσθαι ἐν τοῖς τῶν Ἰουδαίων γαζοφυλακίοις, φημὶ δὲ τοῖς ἐν Τιβεριάδι, καὶ ἐναποκεῖσθαι ἐν ἀποκρύφοις, ὥς τινες τῶν ἀπὸ Ἰουδαίων πεπιστευκότων ὑφηγήσαντο ἡμῖν κατὰ λεπτότητα. οὐ μὴν ἀλλὰ καὶ τῶν πράξεων τῶν ἀποστόλων
5 τὴν βίβλον ὡσαύτως ἀπὸ Ἑλλάδος γλώσσης εἰς Ἑβραΐδα μεταληφθεῖσαν [v. μεταβληθεῖσαν] λόγος ἔχει ἐκεῖσε κεῖσθαι ἐν τοῖς γαζοφυλακίοις, ὡς καὶ ἀπὸ τούτου τοὺς ἀναγνόντας Ἰουδαίους τοὺς ἡμῖν ὑφηγησαμένους [v. ἀφηγ–] εἰς Χριστὸν πεπιστευκέναι. [Epiphanius, haeres. 30, 3]. **b.** ἀναγιγνώσκων δὲ ἐν ταύταις (d. h. den in der Genîza in
10 Tiberias gefundenen Büchern), ὡς ἤδη ἔφην, τὸ Κατὰ Ἰωάννην εὐαγγέλιον ἀπὸ Ἑλλάδος εἰς Ἑβραΐδα φωνὴν μεταληφθὲν ηὕρατο καὶ τὰς τῶν ἀποστόλων Πράξεις. οὐ μὴν ἀλλὰ καὶ τὸ Κατὰ Ματθαῖον εὐαγγέλιον Ἑβραϊκὸν φύσει [ib. 6]. **c.** Ἐν τῷ γοῦν παρ' αὐτοῖς εὐαγγελίῳ Κατὰ Ματθαῖον ὀνομαζομένῳ, οὐχ ὅλῳ δὲ πληρεστάτῳ ἀλλὰ νενοθευ-
15 μένῳ καὶ ἠκρωτηριασμένῳ — Ἑβραϊκὸν δὲ τοῦτο καλοῦσι — ἐμφέρεται ὅτι „Ἐγένετό τις ἀνήρ" κτλ. (folgt Nr. 5 u. 6) [Epiphanius, haer. 30, 13.]

## II. Bruchstücke.

1. (Mt. 3, 1 ff.) **a.** Ἡ δὲ ἀρχὴ τοῦ παρ' αὐτοῖς εὐαγγελίου ἔχει ὅτι Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ βασιλέως τῆς Ἰου-
20 δαίας, ἦλθεν Ἰωάννης βαπτίζων βάπτισμα μετανοίας ἐν τῷ Ἰορδάνῃ ποταμῷ· ὃς ἐλέγετο εἶναι ἐκ γένους Ἀαρὼν τοῦ ἱερέως, παῖς Ζαχαρίου καὶ Ἐλισάβετ. καὶ ἐξήρχοντο πρὸς αὐτὸν πάντες. [Epiphanius, h. 30, 13.] **b.** παρακόψαντες γὰρ τὰς παρὰ τῷ Ματθαίῳ γενεαλογίας ἄρχονται τὴν ἀρχὴν ποιεῖσθαι, ὡς προείπομεν [v. προεῖπον],
25 λέγοντες ὅτι

Ἐγένετο, φησίν, ἐν ταῖς ἡμέραις Ἡρώδου βασιλέως τῆς Ἰουδαίας ἐπὶ ἀρχιερέως Καιάφα, ἦλθέ τις Ἰωάννης ὀνόματι βαπτίζων βάπτισμα μετανοίας ἐν τῷ Ἰορδάνῃ ποταμῷ καὶ τὰ ἑξῆς. [Epiphanius, h. 30, 14.]

30 2. (Mt. 3, 7 ff.) Καὶ ἐγένετο Ἰωάννης βαπτίζων καὶ ἐξῆλθον

**12.** Von den Kerinthianern: Χρῶνται γὰρ τῷ κατὰ Ματθαῖον εὐαγγελίῳ ἀπὸ μέρους καὶ οὐχὶ ὅλῳ, ἀλλὰ διὰ τὴν γενεαλογίαν τὴν ἔνσαρκον, καὶ ταύτην μαρτυρίαν φέρουσιν ἀπὸ τοῦ εὐαγγελίου πάλιν λέγοντες ὅτι Ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος. (Mt. 10, 25.) [Epiph., haer. 28, 5.] Ὁ μὲν γὰρ Κήρινθος καὶ Καρποκρᾶς τῷ αὐτῷ χρώμενοι δῆθεν παρ' αὐτοῖς εὐαγγελίῳ ἀπὸ τῆς ἀρχῆς τοῦ κατὰ Ματθαῖον εὐαγγελίου διὰ τῆς γενεαλογίας βούλονται παριστᾶν ἐκ σπέρματος Ἰωσὴφ καὶ Μαρίας εἶναι τὸν Χριστόν. [Epiph., haeres. 30, 14; folgt Nr. 1 b.]

πρὸς αὐτὸν Φαρισαῖοι καὶ ἐβαπτίσθησαν καὶ πᾶσα Ἱεροσόλυμα. καὶ εἶχεν ὁ Ἰωάννης ἔνδυμα ἀπὸ τριχῶν καμήλου [καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. καὶ τὸ βρῶμα αὐτοῦ, φησί, μέλι ἄγριον οὗ ἡ γεῦσις ἦν τοῦ μάννα, ὡς ἐγκρὶς ἐν ἐλαίῳ. [Epiphanius, h. 30, 13; unvermittelt angeschlossen an Nr. 6.] 5

3. (Mt. 3, 13ff.] Καὶ μετὰ τὸ εἰπεῖν πολλὰ ἐπιφέρει ὅτι

Τοῦ λαοῦ βαπτισθέντος ἦλθε καὶ Ἰησοῦς καὶ ἐβαπτίσθη ὑπὸ τοῦ Ἰωάννου. καὶ ὡς ἀνῆλθεν ἀπὸ τοῦ ὕδατος, ἠνοίγησαν οἱ οὐρανοὶ καὶ εἶδεν τὸ πνεῦμα [v. πν. + τοῦ θεοῦ] τὸ ἅγιον ἐν εἴδει περιστερᾶς κατελθούσης καὶ εἰσελθούσης εἰς αὐτόν. καὶ φωνὴ 10 ἐγένετο ἐκ τοῦ οὐρανοῦ λέγουσα· 'Σύ μου εἶ ὁ υἱὸς ὁ ἀγαπητός· ἐν σοὶ ηὐδόκησα.' Καὶ πάλιν 'Ἐγὼ σήμερον γεγέννηκά σε.' καὶ εὐθὺς περιέλαμψε τὸν τόπον φῶς μέγα. ὃν ἰδών, φησίν, ὁ Ἰωάννης λέγει αὐτῷ· 'Σὺ τίς εἶ, κύριε;' καὶ πάλιν φωνὴ ἐξ οὐρανοῦ πρὸς αὐτόν· 'Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐφ' ὃν ηὐδό- 15 κησα.' Καὶ τότε, φησίν, ὁ Ἰωάννης προσπεσὼν αὐτῷ ἔλεγε· 'Δέομαί σου, κύριε, σύ με βάπτισον.' ὁ δὲ ἐκώλυσεν αὐτὸν [v. ἐκώλυεν αὐτῷ] λέγων· 'Ἄφες, ὅτι οὕτως ἐστὶ πρέπον πληρωθῆναι πάντα.' [Epiphanius l. c.; voraus geht 1 a.]

4. (Vgl. Lc. 3, 23.) Ἐγένετό τις ἀνὴρ ὀνόματι Ἰησοῦς, καὶ 20 αὐτὸς ὡς ἐτῶν τριάκοντα ὃς ἐξελέξατο ἡμᾶς. [Epiphanius l. c. Vgl. o. S. 10, 16.]

5. (Mt. 4, 12f. 9, 9ff.) Καὶ ἐλθὼν εἰς Καφαρναοὺμ εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος τοῦ ἐπικληθέντος Πέτρου, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εἶπε Παρερχόμενος παρὰ τὴν λίμνην Τιβεριάδος ἐξε- 25 λεξάμην Ἰωάννην καὶ Ἰάκωβον, υἱοὺς Ζεβεδαίου, καὶ Σίμωνα καὶ Ἀνδρέαν καὶ Θαδδαῖον καὶ Σίμωνα τὸν Ζηλωτὴν καὶ Ἰούδαν τὸν Ἰσκαριώτην [v. > κ. Ἰ. τ. Ἰ.]· καὶ σὲ τὸν Ματθαῖον καθεζόμενον ἐπὶ τοῦ τελωνείου ἐκάλεσα καὶ ἠκολούθησάς μοι. ὑμᾶς οὖν βούλομαι εἶναι δεκαδύο ἀποστόλους εἰς μαρτύριον τοῦ Ἰσραήλ. [Epi- 30 phanius l. c. unmittelbar an Nr. 5 angeschlossen.]

6. (Mt. 12, 47ff.) Πάλιν δὲ ἀρνοῦνται εἶναι αὐτὸν ἄνθρωπον, δῆθεν ἀπὸ τοῦ λόγου οὗ εἴρηκεν ὁ σωτὴρ ἐν τῷ ἀναγγελῆναι αὐτὸν ὅτι

'Ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν', ὅτι 'Τίς μού ἐστι μήτηρ καὶ ἀδελφοί; καὶ ἐκτείνας τὴν χεῖρα ἐπὶ τοὺς 35 μαθητὰς ἔφη· Οὗτοί εἰσιν αἱ ἀδελφαί [οἱ ἀδελφοὶ Cod.] μου καὶ ἡ μήτηρ καὶ ἀδελφοὶ οἱ ποιοῦντες τὰ θελήματα τοῦ πατρός μου. [Epiphanius, h. 30, 14.]

7. Οὐ φάσκουσι δὲ ἐκ θεοῦ πατρὸς αὐτὸν γεγεννῆσθαι, ἀλλὰ κεκτίσθαι, ὡς ἕνα τῶν ἀρχαγγέλων καὶ ἔτι περισσοτέρως, αὐτὸν δὲ κυριεύειν καὶ ἀγγέλων καὶ πάντων ὑπὸ τοῦ παντοκράτορος πεποιημένων καὶ ἐλθόντα καὶ ὑφηγησάμενον, ὡς τὸ παρ' αὐτοῖς <κατὰ Ἑβραίους> εὐαγγέλιον καλούμενον περιέχει, ὅτι

Ἦλθον [v. ἦλθεν] καταλῦσαι τὰς θυσίας, καὶ ἐὰν μὴ παύσησθε τοῦ θύειν, οὐ παύσεται ἀφ' ὑμῶν ἡ ὀργή. [Epiph., h. 30, 16.]

8. (Mt. 26, 17 ff.) Αὐτοὶ δὲ ἀπογράψαντες [ἐπιγράψαντες Cod.] τὸ κρέας ἑαυτοὺς ἐπλάνησαν ῥαδιουργήσαντες καὶ εἰπόντες

Μὴ ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα κρέας φαγεῖν μεθ' ὑμῶν. (Vgl. vorher: αὐτοὶ δὲ ἀφανίσαντες ἀφ' ἑαυτῶν τὴν τῆς ἀληθείας ἀκολουθίαν ἤλλαξαν τὸ ῥητόν, ὅπερ ἐστὶ πᾶσι φανερὸν ἐκ τῶν συνεζευγμένων λέξεων καὶ ἐποίησαν τοὺς μαθητὰς μὲν λέγοντας

Ποῦ θέλεις ἑτοιμάσωμέν σοι τὸ πάσχα φαγεῖν;

καὶ αὐτὸν δῆθεν λέγοντα

Μὴ ἐπιθυμίᾳ ἐπεθύμησα κρέας τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν.) [Epiphanius, h. 30, 22.]

## V. EVANGELIENZITATE DER NAASSENER.

1. Ἀπεκόπη γάρ, φησίν, ὁ Ἄττις τουτέστιν ἀπὸ τῶν χοϊκῶν τῆς κτίσεως κάτωθεν μερῶν καὶ ἐπὶ τὴν αἰωνίαν ἄνω μετελήλυθεν οὐσίαν, ὅπου, φησίν, οὐκ ἔστιν οὔτε θῆλυ οὔτε [Cod. οὐδὲ . . . οὐδὲ] ἄρσεν, ἀλλὰ καινὴ κτίσις, καινὸς ἄνθρωπος, ὅς [Cod. ὁ] ἔστιν ἀρσενόθηλυς. Vgl. Ägypterev. 1 c. (o. S. 2, 31.) [Hippolyt, Philos. V, 7 p. 138, 57.]

2. Λέγουσιν οὖν περὶ τῆς τοῦ σπέρματος [Cod. πνεύματος] οὐσίας, ἥτις ἐστὶ πάντων τῶν γινομένων αἰτία, ὅτι τούτων ἐστὶν οὐδέν, γεννᾷ δὲ καὶ ποιεῖ πάντα τὰ γινόμενα, λέγοντες οὕτως· γίνομαι, ὃ θέλω, καὶ εἰμί, ὃ εἰμί, διὰ τοῦτο φημὶ ἀκίνητον εἶναι τὸ πάντα κινοῦν. μένει γὰρ ὃ ἔστι ποιοῦν τὰ πάντα καὶ οὐδὲν τῶν γινομένων γίνεται. τοῦτον εἶναί φησιν ἀγαθὸν μόνον, καὶ περὶ τούτου λελέχθαι τὸ ὑπὸ τοῦ σωτῆρος λεγόμενον·

Τί μέ λέγεις ἀγαθόν; εἷς ἐστὶν ἀγαθός, ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς, ὃς ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους καὶ βρέχει ἐπὶ ὁσίους καὶ ἁμαρτωλούς. (Vgl. Lc. 18, 19. Mt. 5, 45). [V, 7 p. 142, 20.]

3. Τοῦτο, φησίν, ἐστὶ τὸ εἰρημένον ὑπὸ τοῦ σωτῆρος·

Ἐὰν μὴ πίνητέ μου τὸ αἷμα καὶ φάγητέ μου τὴν σάρκα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ κἂν πίητε, φησί, τὸ ποτήριον ὃ ἐγὼ πίνω, ὅπου ἐγὼ ὑπάγω, ἐκεῖ ὑμεῖς εἰσελθεῖν οὐ δύνασθε.

ᾔδει γάρ, φησίν, ἐξ ὁποίας φύσεως ἕκαστος τῶν μαθητῶν αὐτοῦ ἐστὶ καὶ ὅτι ἕκαστον αὐτῶν εἰς τὴν ἰδίαν φύσιν ἐλθεῖν ἀνάγκη. ἀπὸ γὰρ τῶν δώδεκα, φησί, φυλῶν μαθητὰς ἐξελέξατο δώδεκα καὶ δι' αὐτῶν ἐλάλησε πάσῃ φυλῇ. (Vgl. Joh. 6, 53. + Mt. 20, 22. (Mc. 10, 38.) + Joh. 8, 21. 13, 33.) [V, 8 p. 152, 90.]

4. Τοῦτ' ἐστί, φησί, τὸ εἰρημένον·

φωνὴν μὲν αὐτοῦ ἠκούσαμεν, εἶδος δὲ αὐτοῦ οὐχ ἑωράκαμεν· (Vgl. Joh. 3, 8. 5, 37). [V, 8 p. 154, 8].

5. Διὰ τοῦτο, φησί, λέγει ὁ Ἰησοῦς·

ἐγώ εἰμι ἡ πύλη ἡ ἀληθινή. (Joh. 10, 9.) [V, 8 p. 156, 48].

6. Τοῦτο, φησίν, ἐστὶ τὸ εἰρημένον·

Τάφοι ἐστὲ κεκονιαμένοι, γέμοντες, φησίν, ἔσωθεν ὀστέων νεκρῶν, ὅτι οὐκ ἔστιν ἐν ὑμῖν ἄνθρωπος ὁ ζῶν. (Vgl. Mt. 23, 27.)

καὶ πάλιν, φησίν,

ἐξαλοῦνται ἐκ τῶν μνημείων οἱ νεκροί (Vgl. Mt. 27, 52 f.)

τουτέστιν ἐκ τῶν σωμάτων τῶν χοϊκῶν ἀναγεννηθέντες πνευματικοί, οὐ σαρκικοί. αὕτη, φησίν, ἐστὶν ἡ ἀνάστασις ἡ διὰ τῆς πύλης γινομένη τῶν οὐρανῶν, δι' ἧς οἱ μὴ εἰσελθόντες, φησί, πάντες μένουσι νεκροί. [V, 8 p. 158, 61.]

## VI. AUS DEN ÜBERLIEFERUNGEN DES MATTHIAS.

1. **a.** Βασιλείδης τοίνυν καὶ Ἰσίδωρος, ὁ Βασιλείδου παῖς γνήσιος καὶ μαθητής, φασίν [Cod. φησίν] εἰρηκέναι Ματθίαν αὐτοῖς λόγους ἀποκρύφους, οὓς ἤκουσε παρὰ τοῦ σωτῆρος κατ' ἰδίαν διδαχθείς. ἴδωμεν οὖν πῶς καταφανῶς Βασιλείδης ὁμοῦ καὶ Ἰσίδωρος καὶ πᾶς ὁ τούτων χορὸς οὐχ ἁπλῶς καταψεύδεται μόνου Ματθίου, ἀλλὰ γὰρ καὶ τοῦ σωτῆρος αὐτοῦ. ἦν, φησίν, ὅτε [Cod. τότε] ἦν οὐδέν, ἀλλ' οὐδὲ τὸ οὐδὲν ἦν τι τῶν ὄντων, ἀλλὰ ψιλῶς καὶ ἀνυπονοήτως δίχα παντὸς σοφίσματος ἦν ὅλως οὐδὲ ἕν. ὅταν δὲ λέγω [Cod. λέγῃ], φησί, τὸ ἦν, οὐχ ὅτι ἦν λέγω, ἀλλ' ἵνα σημάνω τοῦτο ὅπερ βούλομαι δεῖξαι, λέγω, φησίν, ὅτι ἦν ὅλως οὐδέν. ἔστι γάρ, φησίν, ἐκεῖνο οὐχ ἁπλῶς ἄρρητον, <ὃ> ὀνομάζεται· ἄρρητον γοῦν αὐτὸ καλοῦμεν, ἐκεῖνο δὲ οὐδὲ ἄρρητον· καὶ γὰρ τὸ οὐδ' [Cod. οὐχ] ἄρρητον οὐχ

ἄρρητον ὀνομάζεται, ἀλλὰ ἔστι, φησίν, ὑπεράνω παντὸς ὀνόματος ὀνομαζομένου· οὐδὲ [Cod. οὐδὲν] γὰρ τῷ κόσμῳ, φησίν, ἐξαρκεῖ τὰ ὀνόματα — οὕτως ἔστι πολυσχιδής — ἀλλὰ ἐπιλέλοιπε· καὶ οὐ δέχομαι, φησί, κατὰ πάντων εὑρεῖν κυρίως ὀνόματα, ἀλλὰ δεῖ [Cod. δή] τῇ
5 διανοίᾳ αὐτοῖς ὀνόματα τῶν ὀνομαζομένων τὰς ἰδιότητας ἀρρήτως ἐκλαμβάνειν· ἡ γὰρ ὁμωνυμία ταραχὴν ἐμπεποίηκε [Cod. ἐκπεποίηκε] καὶ πλάνην τῶν πραγμάτων τοῖς ἀκροωμένοις. τοῦτο πρῶτον [Cod. πρῶτος] σφετέρισμα καὶ κλέμμα τοῦ Περιπάτου λαβόντες ἀπατῶσι τὴν ἄνοιαν τῶν συναγελαζομένων ἅμα αὐτοῖς· πολλαῖς γὰρ γενεαῖς
10 Ἀριστοτέλης Βασιλείδου γεγενημένος πρότερος τὸν περὶ τῶν ὁμονύμων ἐν ταῖς Κατηγορίαις καταβέβληται λόγον, ὃν ὡς ἴδιον οὗτοι καὶ καινόν τινα καὶ τῶν Ματθίου λόγων κρυφίων τινα ὄντα διασαφοῦσιν [Cod. κρυφίον τινα ἐνδιασαφοῦσιν. Bunsen: κρυφίων τινα ἐνδ. Duncker: κρυφίων τινα ἕνα διασ.] [Hippolyt, Philosoph. VII, 20 p. 356, 64 ff.]

15 **b.** Τῶν δ' αἱρέσεων αἱ μὲν ἀπὸ ὀνόματος προσαγορεύονται, ὡς ἡ ἀπὸ Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ Βασιλείδου, κἂν τὴν Ματθίου αὐχῶσι προσάγεσθαι δόξαν· μία γὰρ ἡ πάντων γέγονε τῶν ἀποστόλων ὥσπερ διδασκαλία, οὕτως δὲ καὶ ἡ παράδοσις. [Clemens Al., Strom. VII, 17, 108.]

20 2. Ταύτης (d. h. τῆς ἀληθείας) δὲ ἀρχὴ τὸ θαυμάσαι τὰ πράγματα, ὡς Πλάτων ἐν Θεαιτήτῳ (p. 155d) λέγει καὶ Ματθίας ἐν ταῖς Παραδόσεσι παραινῶν Θαύμασον τὰ παρόντα, βαθμὸν τοῦτον πρῶτον τῆς ἐπέκεινα γνώσεως ὑποτιθέμενος. [Clemens Al., Strom. II, 9, 45.]

3. Λέγουσι (d. Gnostiker) γοῦν [Euseb.: δ' οὖν, γ' οὖν] καὶ τὸν
25 Ματθίαν οὕτως διδάξαι,

σαρκὶ μὲν μάχεσθαι καὶ παραχρῆσθαι μηθὲν [Euseb. μηδὲν] αὐτῇ πρὸς ἡδονὴν ἀκόλαστον [Euseb.: >ἀκολ.] ἐνδιδόντα, ψυχὴν δὲ αὔξειν διὰ πίστεως καὶ γνώσεως. [Clemens Al., Strom. III, 4, 26; vgl. Euseb., h. e. III, 29, 4, wo der Syrer statt Matthias *Tholmai* liest].

30 4. Λέγουσι δὲ ἐν ταῖς Παραδόσεσι Ματθίαν τὸν ἀπόστολον παρ' ἕκαστα εἰρηκέναι, ὅτι

Ἐὰν ἐκλεκτοῦ γείτων ἁμαρτήσῃ, ἥμαρτεν ὁ ἐκλεκτός· εἰ γὰρ οὕτως ἑαυτὸν ἦγεν ὡς ὁ λόγος ὑπαγορεύει, κατῃδέσθη <ἂν> αὐτοῦ τὸν βίον καὶ ὁ γείτων εἰς τὸ μὴ ἁμαρτάνειν. [Clemens Al., Strom.
35 VII, 13, 82.]

[5. (Vgl. Luc. 19, 2 ff., bes. V. 8. 10. Ζακχαῖον τοίνυν (οἱ δὲ Ματθίαν φασίν) ἀρχιτελώνην ἀκηκοότα τοῦ κυρίου καταξιώσαντος πρὸς αὐτὸν γενέσθαι,

Ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου δίδωμι ἐλεημοσύνην, φάναι, κύριε· καὶ εἴ τινός τι ἐσυκοφάντησα, τετραπλοῦν ἀποδίδωμι. ἐφ' οὗ καὶ ὁ σωτὴρ εἶπεν· Ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν σήμερον τὸ ἀπολωλὸς εὗρεν. [Clemens Al., Strom. IV, 6, 35.]

## VII. AUS DEM EVANGELIUM DES PHILIPPUS. 5

Προσφέρουσι (Gnotisker, die im 4. Jahrh. in Ägypten lebten) δὲ εἰς ὄνομα Φιλίππου τοῦ ἁγίου μαθητοῦ εὐαγγέλιον πεπλασμένον, ὅ τι φησίν·

Ἀπεκάλυψέ μοι ὁ κύριος, τί τὴν ψυχὴν δεῖ λέγειν, ἐν τῷ ἀνιέναι εἰς τὸν οὐρανόν, καὶ πῶς ἑκάστῃ τῶν ἄνω δυνάμεων ἀποκρίνεσθαι· ὅτι Ἐπέγνων ἐμαυτὴν, φησί, καὶ συνέλεξα ἐμαυτὴν ἐκ πανταχόθεν καὶ οὐκ ἔσπειρα τέκνα τῷ Ἄρχοντι, ἀλλὰ ἐξερρίζωσα τὰς ῥίζας αὐτοῦ καὶ συνέλεξα τὰ μέλη τὰ διεσκορπισμένα. καὶ οἶδά σε τίς εἶ. ἐγὼ γάρ, φησί, τῶν ἄνωθέν εἰμι. καὶ οὕτως, φησίν, ἀπολύεται. ἐὰν δὲ εὑρεθῇ, φησί, γεννήσασα υἱόν, κατέχεται κάτω, ἕως ἂν τὰ ἴδια τέκνα δυνηθῇ ἀναλαβεῖν καὶ ἀνατρέψαι εἰς αὐτήν. [Epiph. h. 26, 13.] 10 15

## VIII. RESTE DES PETRUSEVANGELIUMS.

1. **a.** Ὤιοντο οὖν (d. Bürger von Nazareth, Mt. 13, 55) αὐτὸν εἶναι Ἰωσὴφ καὶ Μαρίας υἱόν· τοὺς δὲ ἀδελφοὺς Ἰησοῦ φασί τινες εἶναι, ἐκ παραδόσεως ὁρμώμενοι τοῦ ἐπιγεγραμμένου Κατὰ Πέτρον εὐαγγελίου ἢ τῆς βίβλου Ἰακώβου, υἱοὺς Ἰωσὴφ ἐκ προτέρας γυναικὸς συνῳκηκυίας αὐτῷ πρὸ τῆς Μαρίας. [Origenes, Comm. in Mt. X, 17.] 20

**b.** Ἕτερός τε συντεταγμένος αὐτῷ (d. h. Serapion) λόγος περὶ τοῦ λεγομένου Κατὰ Πέτρον εὐαγγελίου, ὃν πεποίηται ἀπελέγχων τὰ ψευδῶς ἐν αὐτῷ εἰρημένα διά τινας ἐν τῇ κατὰ Ῥωσσὸν παροικίᾳ προφάσει τῆς εἰρημένης γραφῆς εἰς ἑτεροδόξους διδασκαλίας ἀποκείλαντας. ἀφ' ἧς εὔλογον βραχείας παραθέσθαι λέξεις, δι' ὧν ἣν εἶχε περὶ τοῦ βιβλίου γνώμην προτίθησιν οὕτω γράφων· 25 30

3 „Ἡμεῖς γάρ, ἀδελφοί, καὶ Πέτρον καὶ τοὺς ἄλλους ἀποστό-„λους ἀποδεχόμεθα ὡς Χριστόν, τὰ δὲ ὀνόματι αὐτῶν ψευδεπίγραφα „ὡς ἔμπειροι παραιτούμεθα, γινώσκοντες ὅτι τὰ τοιαῦτα οὐ παρελά-„βομεν. 4 ἐγὼ γὰρ γενόμενος παρ' ὑμῖν ὑπενόουν τοὺς πάντας ὀρθῇ „πίστει προσφέρεσθαι, καὶ μὴ διελθὼν τὸ ὑπ' αὐτῶν προφερόμενον 35

„ὀνόματι Πέτρου εὐαγγέλιον εἶπον ὅτι Εἰ τοῦτό ἐστιν μόνον τὸ δοκοῦν
„ὑμῖν παρέχειν μικροψυχίαν, ἀναγινωσκέσθω. νῦν δὲ μαθὼν ὅτι
„αἱρέσει τινὶ ὁ νοῦς αὐτῶν ἐφώλευεν ἐκ τῶν λεχθέντων μου, σπου-
„δάσω πάλιν γενέσθαι πρὸς ὑμᾶς, ὥστε, ἀδελφοί, προσδοκᾶτέ με ἐν
5 „τάχει. [5] ὑμεῖς δὲ καταλαβόμενοι, ὁποίας ἦν αἱρέσεως ὁ Μαρκιανός,
„ὡς καὶ ἑαυτῷ ἠναντιοῦτο μὴ νοῶν ἃ ἐλάλει, μαθήσεσθε ἐξ ὧν ὑμῖν
„ἐγράφη. [6] ἐδυνήθημεν γὰρ παρ' ἄλλων τῶν ἀσκησάντων αὐτὸ τοῦτο
„τὸ εὐαγγέλιον, τουτέστι παρὰ τῶν διαδόχων τῶν καταρξαμένων αὐτοῦ,
„οὓς Δοκητὰς καλοῦμεν, — τὰ γὰρ φρονήματα τὰ πλείονα ἐκείνων
10 „ἐστι τῆς διδασκαλίας —, χρησάμενοι παρ' αὐτῶν διελθεῖν καὶ εὑρεῖν
„τὰ μὲν πλείονα τοῦ ὀρθοῦ λόγου τοῦ σωτῆρος, τινὰ δὲ προσδιεσταλ-
„μένα, ἃ καὶ ὑπετάξαμεν ὑμῖν". [Eusebius, h. e. VI, 12, 2—6].

c. Τό γε μὴν τῶν ἐπικεκλημένων αὐτοῦ (d. h. Petrus) πράξεων,
καὶ τὸ κατ' αὐτὸν ὠνομασμένον εὐαγγέλιον, τό τε λεγόμενον
15 αὐτοῦ κήρυγμα καὶ τὴν καλουμένην ἀποκάλυψιν οὐδ' ὅλως ἐν καθο-
λικαῖς ἴσμεν παραδεδομένα, ὅτι μήτε ἀρχαίων μήτε μὴν καθ' ἡμᾶς
τις ἐκκλησιαστικὸς συγγραφεὺς ταῖς ἐξ αὐτῶν συνεχρήσατο μαρτυρίαις.
[Eusebius, h. e., III, 3, 2.] Vgl. oben IV, 1.

d. Οἱ δὲ Ναζωραῖοι Ἰουδαῖοί εἰσιν τὸν Χριστὸν τιμῶντες ὡς
20 ἄνθρωπον δίκαιον καὶ τῷ καλουμένῳ Κατὰ Πέτρον εὐαγγελίῳ κεχρη-
μένοι. [Theodoret., haer. fab. comp. II, 2].

## BRUCHSTÜCK DES PETRUSEVANGELIUMS.

I 1 (fol. 1v). Τ<ῶν> δὲ Ἰουδαίων οὐδεὶς ἐνίψατο τὰς χεῖρας, οὐδὲ
Ἡρώδης οὐδέ τις <τ>ῶν κριτῶν αὐτοῦ. καὶ <μὴ> βουληθέντων νίψασθαι
25 ἀνέσ[τ]η Πειλᾶτος· 2 καὶ τότε κελεύει Ἡρώδης ὁ βασιλεὺς πα-
ρ<αλημ>φθῆναι τὸν κύριον εἰπὼν αὐτοῖς ὅτι „ὅσα ἐκέλευσα ὑμῖν ποιῆσαι
αὐτῷ ποιήσατε". II, 3 Ἱστήκει δὲ ἐκεῖ Ἰωσὴφ ὁ φίλος Πειλάτου καὶ
τοῦ κυρίου καὶ εἰδὼς ὅτι σταυρίσκειν αὐτὸν μέλλουσιν ἦλθεν πρὸς τὸν
Πειλᾶτον καὶ ᾔτησε τὸ σῶμα τοῦ κυρίου πρὸς ταφήν. 4 καὶ ὁ Πει-
30 λᾶτος πέμψας πρὸς Ἡρώδην ᾔτησεν αὐτοῦ τὸ σῶμα· 5 καὶ ὁ

**22** Gefunden in Akhmîm 1886/7 in einem Grabe. Die Hs (C) soll dem VIII. Jahrh. angehören. Faksimile bei O. v. Gebhardt, d. Ev. u. d. Apokal. d. Petrus, Leipzig 1893. — Zu dem Anfang vgl. Nr. XIX a. E. | **23** ουδετις? Cod (C) | **24** καὶ μὴ Murray, και των C. | βουληθέντων + αὐτῶν Gebhardt | **25** Πειλατης C. | παρ[απεμ]φθῆναι Manchot | **28** σταυρῶσαι Blass, σταυρώσειν Wilamowitz.

Ἡρῴδης ἔφη· „ἀδελφὲ Πειλᾶτε, εἰ καὶ μή τις αὐτὸν ᾐτήκει, ἡμεῖς
αὐτὸν ἐθάπτομεν, ἐπεὶ καὶ σάββατον ἐπιφώσκει· γέγραπται γὰρ ἐν τῷ
νόμῳ, ἥλιον μὴ δῦναι ἐπὶ πεφονευμένῳ“. καὶ παρέδωκεν αὐτὸν τῷ
λαῷ πρὸ μιᾶς τῶν ἀζύμων, τῆς ἑορτῆς αὐτῶν.

III 6 Οἱ δὲ λαβόντες τὸν κύριον ὤθουν αὐτὸν τρέχοντες καὶ 5
ἔλεγον· „σύρωμεν τὸν υἱὸν τοῦ θεοῦ ἐξουσίαν αὐτοῦ ἐσχηκότες“. 7 καὶ
πορφύραν αὐτὸν περιέβαλον καὶ ἐκάθισαν αὐτὸν ἐπὶ καθέδραν κρίσεως
λέγοντες· „δικαίως κρῖνε, βασιλεῦ τοῦ Ἰσραήλ“. 8 καί τις αὐτῶν
ἐνεγκὼν στέφανον ἀκάνθινον ἔθηκεν ἐπὶ τῆς κεφαλῆς τοῦ κυρίου.
(fol. 2[r]) 9 καὶ ἕτεροι ἑστῶτες ἐνέπτυον αὐτοῦ ταῖς ὄψεσι, καὶ ἄλλοι 10
τὰς σιαγόνας αὐτοῦ ἐράπισαν, ἕτεροι καλάμῳ ἔνυσσον αὐτὸν καί τινες
αὐτὸν ἐμάστιζον λέγοντες· „ταύτῃ τῇ τιμῇ τιμήσωμεν τὸν υἱὸν τοῦ θεοῦ“.

IV 10 Καὶ ἤνεγκον δύο κακούργους καὶ ἐσταύρωσαν ἀνὰ μέσον
αὐτῶν τὸν κύριον. αὐτὸς δὲ ἐσιώπα ὡς μηδὲ πόνον ἔχων. 11 καὶ
ὅτε ὤρθωσαν τὸν σταυρόν, ἐπέγραψαν ὅτι „Οὗτός ἐστιν ὁ βασιλεὺς τοῦ 15
Ἰσραήλ“. 12 καὶ τεθεικότες τὰ ἐνδύματα ἔμπροσθεν αὐτοῦ διεμερί-
σαντο καὶ λαχμὸν ἔβαλον ἐπ᾽ αὐτοῖς. 13 εἷς δέ τις τῶν κακούργων
ἐκείνων ὠνείδισεν αὐτοὺς λέγων· „ἡμεῖς διὰ τὰ κακὰ ἃ ἐποιήσαμεν
οὕτω πεπόνθαμεν· οὗτος δὲ σωτὴρ γενόμενος τῶν ἀνθρώπων τί ἠδί-
κησεν ὑμᾶς;“ 14 καὶ ἀγανακτήσαντες ἐπ᾽ αὐτῷ ἐκέλευσαν, ἵνα μὴ 20
σκελοκοπηθῇ, ὅπως βασανιζόμενος ἀποθάνῃ.

V 15 Ἦν δὲ μεσημβρία καὶ σκότος κατέσχε πᾶσαν τὴν Ἰουδαίαν
καὶ ἐθορυβοῦντο καὶ ἠγωνίων μήποτε ὁ ἥλιος ἔδυ, ἐπειδὴ ἔτι ἔζῃ·
γέγραπται <γὰρ> αὐτοῖς, ἥλιον μὴ δῦναι ἐπὶ πεφονευμένῳ. 16 καί
τις αὐτῶν (fol. 2[v]) εἶπεν· „ποτίσατε αὐτὸν χολὴν μετὰ ὄξους“· καὶ 25
κεράσαντες ἐπότισαν. 17 καὶ ἐπλήρωσαν πάντα καὶ ἐτελείωσαν κατὰ
τῆς κεφαλῆς αὐτῶν τὰ ἁμαρτήματα. 18 περιήρχοντο δὲ πολλοὶ μετὰ
λύχνων νομίζοντες ὅτι νύξ ἐστιν, ἔπεσάν τε. 19 καὶ ὁ κύριος ἀνεβόησε

5 αὐτῶν C, corr. Bouriant | 6 σύρομεν Gebhardt, ἄρωμεν Harris, σταυ-
ρῶμεν Bennet | 7 περιεβαλλον C, corr. Nestle | 14 μηδὲ πόνον Wendland,
μηδὲν πόνον C, μηδὲν πόνου Zahn, μηδένα π. Hartel | 15 οτι εωρθωσαν C², corr.
Bouriant | σταυρων, corr. Bouriant. | 18 ωνειδησεν C | 19 ουτως C | 21 απο-
θανοι, corr. Gebhardt | 23 ἔτι ἔζη streicht Piccolomini | 24 <γαρ> + Bouriant |
πεφωνευμενω C, corr. Bouriant | 26 ἐτελείωσων <καὶ> κατὰ τῆς κεφαλῆς
<αὐτῶν κατέβησαν> αὐτῶν Piccolomini | 28 λύχνων] + καὶ Gebhardt | επε-
σαντο C, corr. Robinson, καὶ ἐπέσαντο Harnack, ἐπαίσαντο Hilgenfeld, καὶ
ἀνεπέσαντο Lods, <μὴ> oder <ἵνα μὴ> πέσοιντο Bennet, <τινὲς δὲ> ἐπέσαντο
Swete, ἀνέπεσαν· τότε Schubert, ἔπταισαν Hoffmann, καὶ πταίοντες Lejay,
ἀνεπαύσαντο Gebhardt, ἐξίσταντο Redpath, μέση Piccolomini.

λέγων· „ἡ δύναμίς μου, ἡ δύναμίς <μου> κατέλειψάς με“, καὶ εἰπὼν ἀνελήφθη. 20 καὶ αὐτοσώρας διεράγη τὸ καταπέτασμα τοῦ ναοῦ τῆς Ἱερουσαλὴμ εἰς δύο. VI 21 Καὶ τότε ἀπέσπασαν τοὺς ἥλους ἀπὸ τῶν χειρῶν τοῦ κυρίου καὶ ἔθηκαν αὐτὸν ἐπὶ τῆς γῆς. καὶ ἡ γῆ πᾶσα ἐσείσθη καὶ φόβος μέγας ἐγένετο. 22 τότε ἥλιος ἔλαμψε, καὶ εὑρέθη ὥρα ἐνάτη. 23 ἐχάρησαν δὲ οἱ Ἰουδαῖοι καὶ δεδώκασι τῷ Ἰωσὴφ τὸ σῶμα αὐτοῦ, ἵνα αὐτὸ θάψῃ, ἐπειδὴ θεασάμενος ἦν ὅσα ἀγαθὰ ἐποίησεν. 24 λαβὼν δὲ τὸν κύριον ἔλουσε καὶ ἐνείλησε σινδόνι καὶ εἰσήγαγεν εἰς ἴδιον τάφον καλούμενον κῆπον Ἰωσήφ.

VII 25 Τότε οἱ Ἰουδαῖοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἱερεῖς γνόντες οἷον (fol. 3r) κακὸν ἑαυτοῖς ἐποίησαν, ἤρξαντο κόπτεσθαι καὶ λέγειν· „οὐαὶ ταῖς ἁμαρτίαις ἡμῶν· ἤγγισεν ἡ κρίσις καὶ τὸ τέλος Ἱερουσαλήμ“. 26 ἐγὼ δὲ μετὰ τῶν ἑταίρων μου ἐλυπούμην καὶ τετρωμένοι κατὰ διάνοιαν ἐκρυβόμεθα· ἐζητούμεθα γὰρ ὑπ᾽ αὐτῶν ὡς κακοῦργοι καὶ ὡς τὸν ναὸν θέλοντες ἐμπρῆσαι. 27 ἐπὶ δὲ τούτοις πᾶσιν ἐνηστεύομεν καὶ ἐκαθεζόμεθα πενθοῦντες καὶ κλαίοντες νυκτὸς καὶ ἡμέρας ἕως τοῦ σαββάτου.

VIII 28 Συναχθέντες δὲ οἱ γραμματεῖς καὶ Φαρισαῖοι καὶ πρεσβύτεροι πρὸς ἀλλήλους ἀκούσαντες, ὅτι ὁ λαὸς ἅπας γογγύζει καὶ κόπτεται τὰ στήθη λέγοντες, ὅτι „Εἰ τῷ θανάτῳ αὐτοῦ ταῦτα τὰ μέγιστα σημεῖα γέγονεν, ἴδετε ὁπόσον δίκαιός ἐστιν“. 29 ἐφοβήθησαν [οἱ πρεσβύτεροι] καὶ ἦλθον πρὸς Πειλᾶτον δεόμενοι αὐτοῦ καὶ λέγοντες· 30 „Παράδος ἡμῖν στρατιώτας, ἵνα φυλάξω<σιν> τὸ μνῆμα αὐτοῦ ἐπὶ τρεῖς ἡμ<έρας>, μήποτε ἐλθόντες (fol. 3v) οἱ μαθηταὶ αὐτοῦ κλέψωσιν αὐτόν, καὶ ὑπολάβῃ ὁ λαὸς ὅτι ἐκ νεκρῶν ἀνέστη, καὶ ποιήσωσιν ἡμῖν κακά.“ 31 ὁ δὲ Πειλᾶτος παραδέδωκεν αὐτοῖς Πετρώνιον τὸν κεντυρίωνα μετὰ στρατιωτῶν φυλάσσειν τὸν τάφον· καὶ σὺν αὐτοῖς ἦλθον πρεσβύτεροι καὶ γραμματεῖς ἐπὶ τὸ μνῆμα, 32 καὶ κυλίσαντες λίθον μέγαν μετὰ τοῦ κεντυρίωνος καὶ τῶν στρατιωτῶν ὁμοῦ πάντες

**1** <μου> + Harnack | **2** αὐτῆς τῆς ὥρας Harnack, αὐτῇ τῇ ὥρᾳ Gebhardt, αὐτῆς ὥρας Robinson | **5** ο ηλιος? Gebhardt | **7** αὐτοῦ] + ὃ δὲ ἔλαβεν Piccolomini | ινι C, corr. Bouriant | **8** ειλησε C, corr. Gebhardt | σινδονιν C, corr. Bouriant | **9** οιερεις, corr. Bouriant | **13** τετρυμένοι Wilamowitz | **20** εἰ] ἐπὶ Wilamowitz | **21** οτι ποσον C, ὁπόσον Diels, ὅτι Swete | **22** οἱ πρεσβύτεροι < Wilamowitz | **23** φυλαξω C, corr. Robinson; φυλάξωμεν Bouriant | **26** παρέδωκεν? Zahn | **27** στρατιωτον C. | **28** <οἱ> πρεσβύτεροι? Harnack | **28** μετὰ] κατα C. corr. Harnack; κατὰ <προστάγματα>? Gebhardt | ομοι C, corr. Harnack, Usener will ὁμοῖ beibehalten.

οἱ ὄντες ἐκεῖ ἔθηκαν ἐπὶ τῇ θύρᾳ τοῦ μνήματος 33 καὶ ἐπέχρισαν
ἑπτὰ σφραγῖδας καὶ σκηνὴν ἐκεῖ πήξαντες ἐφύλαξαν.
IX 34 Πρωΐας δὲ ἐπιφώσκοντος τοῦ σαββάτου ἦλθεν ὄχλος ἀπὸ
Ἱερουσαλὴμ καὶ τῆς περιχώρου, ἵνα ἴδωσι τὸ μνημεῖον ἐσφραγισμένον.
35 τῇ δὲ νυκτὶ ᾗ ἐπέφωσκεν ἡ κυριακή, φυλασσόντων τῶν στρατιωτῶν 5
ἀνὰ δύο δύο κατὰ φρουράν, μεγάλη φωνὴ ἐγένετο ἐν τῷ οὐρανῷ,
36 καὶ εἶδον ἀνοιχθέντας τοὺς οὐρα<ν>οὺς καὶ δύο ἄνδρας (fol. 4r)
κατελθόντας ἐκεῖθεν πολὺ φέγγος ἔχοντας καὶ ἐγγίσαντας τῷ τάφῳ.
37 ὁ δὲ λίθος ἐκεῖνος ὁ βεβλημένος ἐπὶ τῇ θύρᾳ ἀφ᾿ ἑαυτοῦ κυλισθεὶς
ὑπεχώρησε παρὰ μέρος, καὶ ὁ τάφος ἠνοίγη καὶ ἀμφότεροι οἱ νεα- 10
νίσκοι εἰσῆλθον. X 38 ἰδόντες οὖν οἱ στρατιῶται ἐκεῖνοι ἐξύπνισαν
τὸν κεντυρίωνα καὶ τοὺς πρεσβυτέρους — παρῆσαν γὰρ καὶ αὐτοὶ
φυλάσσοντες — 39 καὶ ἐξηγουμένων αὐτῶν ἃ εἶδον πάλιν ὁρῶσιν
ἐξελθόντας ἀπὸ τοῦ τάφου τρεῖς ἄνδρας, καὶ τοὺς δύο τὸν ἕνα ὑπορ-
θοῦντας καὶ σταυρὸν ἀκολουθοῦντα αὐτοῖς, 40 καὶ τῶν μὲν δύο τὴν 15
κεφαλὴν χωροῦσαν μέχρι τοῦ οὐρανοῦ, τοῦ δὲ χειραγωγουμένου ὑπ᾿
αὐτῶν ὑπερβαίνουσαν τοὺς οὐρανούς, 41 καὶ φωνῆς ἤκουον ἐκ τῶν
οὐρανῶν λεγούσης· „Ἐκήρυξας τοῖς κοιμωμένοις“; 42 καὶ ὑπακοὴ
ἠκούετο ἀπὸ τοῦ σταυροῦ ὅτι „Ναί“. XI 43 συνεσκέπτοντο οὖν
ἀλλήλοις ἐκεῖνοι ἀπελθεῖν (fol. 4v) καὶ ἐνφανίσαι ταῦτα τῷ Πειλάτῳ. 20
44 καὶ ἔτι διανοουμένων αὐτῶν φαίνονται πάλιν ἀνοιχθέντες οἱ οὐρανοὶ
καὶ ἄνθρωπός τις κατελθὼν καὶ εἰσελθὼν εἰς τὸ μνῆμα. 45 ταῦτα
ἰδόντες οἱ περὶ τὸν κεντυρίωνα νυκτὸς ἔσπευσαν πρὸς Πειλᾶτον ἀφέντες
τὸν τάφον ὃν ἐφύλασσον καὶ ἐξηγήσαντο πάντα ἅπερ εἶδον ἀγωνιῶντες
μεγάλως καὶ λέγοντες· „Ἀληθῶς υἱὸς ἦν θεοῦ“. 46 ἀποκριθεὶς ὁ 25
Πειλᾶτος ἔφη· „Ἐγὼ καθαρεύω τοῦ αἵματος τοῦ υἱοῦ τοῦ θεοῦ· ὑμῖν
δὲ τοῦτο ἔδοξεν.“ 47 εἶτα προσελθόντες πάντες ἐδέοντο αὐτοῦ καὶ
παρεκάλουν κελεῦσαι τῷ κεντυρίωνι καὶ τοῖς στρατιώταις μηδενὶ εἰπεῖν
ἃ εἶδον· 48 συμφέρει γάρ, φασίν, ἡμῖν ὀφλῆσαι μεγίστην ἁμαρτίαν

**1** επεχρεισαν C, corr. Bouriant | **7** ανοιχθεντες C, corr. Bouriant | **8** εκειθε C, corr. Gebhardt | **9** λειθος C, corr. Bouriant | **10** επεχωρησε C, corr. Robinson, ἀπεχώρησε Gebhardt, Blass | ενοιγη C, corr. Bouriant | **13** ορασιν C, corr. Bouriant | **14** εξελθοντες C, corr. Bouriant | ανδρες C, corr. Bouriant | **15** ακολοθουντα C | **16** τοῦ δὲ] τὴν δὲ <τοῦ> Wilamowitz | χειρατωτουμενου C | **17** φωνη C, corr. Bouriant | κοινωμενοις C, corr. Harnack | **19** ὅτι ναί] τιναι C, corr. Blass; τὸ ναί Swete | **22** κατελθον C, corr. Bouriant | **23** κεντυρωνα C, corr. Bouriant | **24** απανιωντες C, corr. Diels | **26** ημιν C, corr. Bouriant | **27** καιπερ εκαλουν C, corr. Bouriant | **28** κεντυριων C, corr. Bouriant | μηδεν . . . α C, corr. Zahn, μηδὲν . . . ὧν Blass |

ἔμπροσθεν τοῦ θεοῦ καὶ μὴ ἐμπεσεῖν εἰς χεῖρας τοῦ λαοῦ τῶν Ἰου-
δαίων καὶ λιθασθῆναι. 49 ἐκέλευσεν οὖν ὁ Πειλᾶτος τῷ κεντυρίων<ι>
καὶ τοῖς στρατιώταις μηδὲν εἰπεῖν.

XII 50 Ὄρθρου δὲ τῆς κυριακῆς Μαριὰμ ἡ Μαγδαληνὴ μαθήτρια
5 τοῦ κυρίου — φοβουμένη διὰ τοὺς Ἰουδαίους, ἐπειδὴ ἐφλέγοντο (fol. 5[r])
ὑπὸ τῆς ὀργῆς, οὐκ ἐποίησεν ἐπὶ τῷ μνήματι τοῦ κυρίου ἃ εἰώθεσαν
ποιεῖν αἱ γυναῖκες ἐπὶ τοῖς ἀποθνήσκουσι τοῖς ἀγαπωμένοις αὐταῖς —
51 λαβοῦσα μεθ' ἑαυτῆς τὰς φίλας ἦλθε ἐπὶ τὸ μνημεῖον ὅπου ἦν
τεθείς. 52 καὶ ἐφοβοῦντο μὴ ἴδωσιν αὐτὰς οἱ Ἰουδαῖοι καὶ ἔλεγον·
10 „Εἰ καὶ μὴ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ ἐσταυρώθη ἐδυνήθημεν κλαῦσαι
καὶ κόψασθαι, κἂν νῦν ἐπὶ τοῦ μνήματος αὐτοῦ ποιήσωμεν ταῦτα.
53 τίς δὲ ἀποκυλίσει ἡμῖν καὶ τὸν λίθον τὸν τεθέντα ἐπὶ τῆς θύρας
τοῦ μνημείου, ἵνα εἰσελθοῦσαι παρακαθεσθῶμεν αὐτῷ καὶ ποιήσωμεν
τὰ ὀφειλόμενα; 54 — μέγας γὰρ ἦν ὁ λίθος — καὶ φοβούμεθα, μή
15 τις ἡμᾶς ἴδῃ· καὶ εἰ μὴ δυνάμεθα, κἂν ἐπὶ τῆς θύρας βάλωμεν ἃ
φέρομεν εἰς μνημοσύνην αὐτοῦ, κλαύσομεν καὶ κοψόμεθα ἕως ἔλθωμεν
εἰς τὸν οἶκον ἡμῶν.“ XIII 55 καὶ ἐπελθοῦσαι εὗρον τὸν τάφον
ἠνεῳγμένον καὶ προσελθοῦσαι παρέκυψαν [ἐκεῖ] καὶ ὁρῶσιν ἐκεῖ τινα
νεανίσκον καθεζόμενον <ἐν> μέσῳ τοῦ τάφου ὡραῖον καὶ περιβεβλη-
20 μένον (fol. 5[v]) στολὴν λαμπροτάτην, ὅστις ἔφη αὐταῖς· 56 „Τί ἤλθατε;
τίνα ζητεῖτε; μὴ τὸν σταυρωθέντα ἐκεῖνον; ἀνέστη καὶ ἀπῆλθεν· εἰ
δὲ μὴ πιστεύετε, παρακύψατε καὶ ἴδετε τὸν τόπον ἔνθα ἔκειτο, ὅτι
οὐκ ἔστιν, ἀνέστη γὰρ καὶ ἀπῆλθεν ἐκεῖ ὅθεν ἀπεστάλη.“ 57 τότε
αἱ γυναῖκες φοβηθεῖσαι ἔφυγον.

25 XIV 58 Ἦν δὲ τελευταία ἡμέρα τῶν ἀζύμων, καὶ πολλοί τινες
ἐξήρχοντο ὑποστρέφοντες εἰς τοὺς οἴκους αὐτῶν τῆς ἑορτῆς παυσαμένης.
59 ἡμεῖς δὲ οἱ δώδεκα μαθηταὶ τοῦ κυρίου ἐκλαίομεν καὶ ἐλυπούμεθα
καὶ ἕκαστος λυπούμενος διὰ τὸ συμβὰν ἀπηλλάγη εἰς τὸν οἶκον αὐτοῦ.
60 ἐγὼ δὲ Σίμων Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφός μου λαβόντες ἡμῶν
30 τὰ λίνα ἀπήλθαμεν εἰς τὴν θάλασσαν, καὶ ἦν σὺν ἡμῖν Λευεὶς ὁ τοῦ
Ἀλφαίου ὃν κύριος . . . . . .

**2** των κεντυριων C, corr. Bouriant | **3** <μηδενὶ> μηδέν? Gebhardt, μηδενὶ Wilamowitz | **4** ορθου C, corr. Bouriant | μαγδαλινη C, corr. Bouriant | **5** <ἡ> φοβουμένη Wilamowitz | **6** εἰώθασιν? Wilamowitz | **7** καὶ τοῖς ἀγαπ. C, corr. Frankel | **11** κοψεσθαι C, corr. Bouriant | κἂν] και C, corr. Blass | **14** οφιλομενα C, corr. Bouriant | **16** αυτοις C, corr. Bouriant | <καὶ>κλαύσωμεν καὶ κοψώμεθα? Harnack | **17** απελθουσαι C, corr. Kunze | **18** ἐκεῖ[1]] εἴσω Piccolomini | **19** <ἐν> + Gebhardt | **20** αυταιοτι C, corr. Bouriant | **22** πιστευεται C, corr. Bouriant | ιδατε C corr. Bouriant | **23** ἔνεστιν Nicholson | **24** φοβηθεις C, corr. Bouriant | **26** παυσαμινης C, corr. Bouriant | **30** θαλλασσαν C, corr. Bouriant | **31** ὃν] + ὁ Robinson.

## IX. AUS DEM THOMASEVANGELIUM.

1. Ταῦτα δὲ πάντα τῶν ἀντιλεγομένων ἂν εἴη, ἀναγκαίως δὲ καὶ τούτων ὅμως τὸν κατάλογον πεποιήμεθα, διακρίνοντες τάς τε κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ἀληθεῖς καὶ ἀπλάστους καὶ ἀνωμολογημένας γραφάς, καὶ τὰς ἄλλας παρὰ ταύτας οὐκ ἐνδιαθήκους μὲν ἀλλὰ καὶ ἀντιλεγομένας, ὅμως δὲ παρὰ πλείστοις τῶν ἐκκλησιαστικῶν γιγνωσκομένας, ἵν' εἰδέναι ἔχοιμεν αὐτάς τε ταύτας, καὶ τὰς ὀνόματι τῶν ἀποστόλων πρὸς τῶν αἱρετικῶν προφερομένας, ἤτοι ὡς Πέτρου καὶ Θωμᾶ καὶ Ματθία [Syr. Tholmai] ἢ καί τινων παρὰ τούτους ἄλλων εὐαγγέλια περιεχούσας, ἢ ὡς Ἀνδρέου καὶ Ἰωάννου καὶ τῶν ἄλλων ἀποστόλων πράξεις, ὧν οὐδὲν οὐδαμῶς ἐν συγγράμματι τῶν κατὰ τὰς διαδοχὰς ἐκκλησιαστικῶν τις ἀνὴρ εἰς μνήμην ἀγαγεῖν ἠξίωσεν. [Eusebius, h. e. III, 25, 6.]

2. Οὐ μόνον <δ'> αὐτῶν ἐπιμαρτυρεῖν φασὶ τῷ λόγῳ τὰ Ἀσσυρίων μυστήρια <ἀλλὰ> καὶ Φρυγῶν περὶ τὴν τῶν γεγονότων καὶ γινομένων καὶ ἐσομένων ἔτι μακαρίαν κρυβομένην ὁμοῦ καὶ φανερουμένην φύσιν, ἥνπερ φησὶ <τὴν> ἐντὸς ἀνθρώπου, βασιλείαν οὐρανῶν ζητουμένην, περὶ ἧς διαρρήδην ἐν τῷ Κατὰ Θωμᾶν ἐπιγραφομένῳ εὐαγγελίῳ παραδιδόασι λέγοντες οὕτως·

Ἐμὲ ὁ ζητῶν εὑρήσει ἐν παιδίοις ἀπὸ ἐτῶν ἑπτά· ἐκεῖ γὰρ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ αἰῶνι κρυβόμενος φανεροῦμαι. [Hippolyt, Philos. V, 7 p. 140, 89.]

[3. Τῆς δὲ καινῆς διαθήκης τὰ τέσσαρα μόνα εὐαγγέλια· τὰ δὲ λοιπὰ ψευδεπίγραφα καὶ βλαβερὰ τυγχάνει. ἔγραψαν καὶ Μανιχαῖοι Κατὰ Θωμᾶν εὐαγγέλιον, ὅπερ εὐωδίᾳ τῆς εὐαγγελικῆς ἐπωνυμίας ἐπικεχρωσμένον διαφθείρει τὰς ψυχὰς τῶν ἁπλουστέρων. [Cyrill. Hieros., Catech. IV, 36.]

[4. Μηδεὶς ἀναγιγνωσκέτω τὸ Κατὰ Θωμᾶν εὐαγγέλιον· οὐ γάρ ἐστιν ἑνὸς τῶν δώδεκα ἀποστόλων, ἀλλ' ἑνὸς τῶν τριῶν κακῶν τοῦ Μάνου μαθητῶν. [Cyrill. Hieros., Catech. VI, 31.]

5. Εὐαγγέλιον Κατὰ Θωμᾶν στίχ.,ατ'. [Nicephor. Stichometr. b. Preuschen, Analecta 158, 68.]

## X. DAS EVANGELIENFRAGMENT VON FAJJÛM.

[πρὸ τοῦ με μεταλ]
λαγεῖν ὡς εξ . . . . πά[ντες ἐν ταύτῃ]

**34** [μετὰ δὲ τὸ] Usener | **35** ὡσαύτως Nestle, ὡς ἐξ ἔθους Bickell; Ergänzung zweifelhaft |

τῇ νυκτὶ σκανδαλισ[θήσεσθε κατὰ]
τὸ γραφέν· πατάξω τὸν [ποιμένα καὶ τὰ]
5. πρόβατα διασκορπισθήσ[ονται· εἰπόντος]
[το]ῦ πέτ[ρου]· καὶ εἰ πάντες ο[ὐκ ἐγώ. εἶπεν ὁ]
5 [κύριος]· ὁ ἀλεκτρύων δὶς κοκ[κύξει, καὶ σὺ]
[πρῶτον τρὶς ἀ]παρν[ήσῃ] με] . . . .

6f. εἶπεν ὁ κύριος] ὁ κ[ύριο]ς· Πρὶν ἢ Usener | 7 κοκ[ύσει σήμερον] Usener | 8 [σὺ τρίς με ἀ]παρνήσῃ Usener |

[Bickell, Zeitschr. f. kath. Theol. 1885, S. 498ff. 1886, S. 208f.
10 Mitteilungen aus d. Samml. des Erzh. Rainer I (1887) S. 53ff. V (1892) S. 78ff. Harnack, Theol. Literaturzeit. 1885, Nr. 12; Texte u. Unters. V, 4, S. 483ff. Usener, Religionsgesch. Untersuchungen I, S. 99 Anm. 3. Zahn, Gesch. d. Ntl. Kanons II, 781ff.]

## XI. ΛΟΓΙΑ ΙΗΣΟΥ.

15 (Grenfell and Hunt, The Oxyrynchus Papyri I [1897]. IV [1904].)

1. . . . . . καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου. (Lc. 6, 42. Mt. 7, 5.)

2. Λέγει Ἰησοῦς· Ἐὰν μὴ νηστεύσητε τὸν κόσμον, οὐ μὴ εὕρητε τὴν βασιλείαν τοῦ θεοῦ,
20 καὶ ἐὰν μὴ σαββατίσητε τὸ σάββατον, οὐκ ὄψεσθε τὸν πατέρα.

μηνηστευσηται P[apyrus]; μνηστευσητε Kipp. Gebhardt, J. Weiss | τοῦ κόσμου? Vgl. Clemens Alex., Strom. III, 15, 99: μακάριοι οἱ τοῦ κόσμου νηστεύοντες. Nach Chajes, Markusstudien S. 71 ist μὴ . . τὸν κόσμον Übers. von לא לְעוֹלָם „nie, in keiner Zeit". Nach Fries הָעוֹלָם = לְעוֹלָם „in Ewigkeit".

25 3. Λέγει Ἰησοῦς. Ἔ[σ]την ἐν μέσῳ τοῦ κόσμου καὶ ἐν σαρκὶ ὤφθην αὐτοῖς,
καὶ εὗρον πάντας μεθύοντας καὶ οὐδένα εὗρον διψῶντα ἐν αὐτοῖς·
καὶ πονεῖ ἡ ψυχή μου ἐπὶ τοῖς υἱοῖς τῶν ἀνθρώπων,
ὅτι τυφλοί εἰσιν τῇ καρδίᾳ αὐτῶ[ν] καὶ οὐ βλ[έπουσιν τ]ὴν πτωχείαν.

30 3 Vgl. Herrnlose Herrnworte Nr. 39 | 4 βλέπουσιν] + εἰς Harnack |

4. [Λέγ]ει [Ἰησοῦς· Ὅπ]ου ἐὰν ὦσιν . . . . ε . . . . θεοι καὶ . . σο . ε . . ἐστίν μόνος . . ἐγώ εἰμι μετ' αὐτ[οῦ].
ἔγει[ρ]ον τὸν λίθον, κἀκεῖ εὑρήσεις με,
σχίσον τὸ ξύλον, κἀγὼ ἐκεῖ εἰμι.

35 ὦσιν β' οὐκ εἰσὶν ἄθεοι καὶ ὅπου εἷς ἐστιν μόνος λέγω Blass, ὦσιν β' ἢ γ' ἐκεῖ εἰσιν μετὰ θεοῦ καὶ εἴ που εἷς ἐστιν μόνος ἰδοὺ ἐγὼ Jülicher; ὦσιν, οὐκ εἰσιν ἄθεοι καὶ ὥσπερ εἷς ἐστιν μόνος οὕτως ἐγὼ Harnack | Vgl. Herrnlose Herrnworte 40.

5. Λέγει Ἰησοῦς· Οὐκ ἔστιν δεκτὸς προφήτης ἐν τῇ πατρίδι αὐτ[ο]ῦ, οὐδὲ ἰατρὸς ποιεῖ θεραπείας εἰς τοὺς γινώσκοντας αὐτόν. (Lc. 4, 24.)
6. Λέγει Ἰησοῦς· Πόλις οἰκοδομημένη ἐπ' ἄκρον [ὄ]ρους ὑψηλοῦ[ς] καὶ ἐστηριγμένη
οὔτε πε[σ]εῖν δύναται οὐδὲ κρυ[β]ῆναι. (Vgl. Mt. 5, 14.) 5
7. Λέγει Ἰησοῦς· Ἀκούεις . ις τοε . . πον σου το . . . .

ἃ ἀκούεις εἰς τὸ ἓν ὠτίον σου τὸ δεξιόν Zahn; ἀκούεις εἰς τὸ ἓν ὠτίον σου, τὸ δὲ ἕτερον συνέκλεισας (od. συνέσχες) Swete.

1 (8) οι τοιοι οι λογοι οι
λησεν ιης ο ζων κ 10
και Θωμα και ειπεν
αν των λογων τουτ
ου μη γευσηται>

Grenfell and Hunt (GH): {οἱ} τοῖοι οἱ λόγοι οἱ [θαυμάσιοι? οὓς ἐλά]λησεν Ἰησοῦς ὁ ζῶν κ[ύριος?] . . . . . . καὶ Θωμᾷ καὶ εἶπεν [αὐτοῖς· 15 πᾶς ὅστις] ἂν τῶν λόγων τούτ[ων ἀκούσῃ θανάτου] οὐ μὴ γεύσηται. (Vgl. Joh. 8, 51f.)

θαυμάσιοι] ἀληθινοὶ Swete. ἀληθεῖς Batiffol. τελευταῖοι Wilamowitz | ζῶν κ[αὶ ἀποθανὼν Ἰούδᾳ καὶ] Swete | ζῶν κ[υρίως] Batiffol | Ἰούδᾳ τῷ καὶ Θωμᾷ Lake; Φιλίππῳ od. Ματθίᾳ καὶ Θωμᾷ GH; τοῖς ι' μαθηταῖς καὶ Θωμᾷ 20 Bartlet | αὐτ[ῷ ὁ κύριος· ὅστις] Swete |

2 (9) μη παυσασθω ο ζη
ευρη και οταν ευρη
βηθεις βασιλευση· κα
ησεται > λεγει ι 25

GH.: [λέγει Ἰησοῦς·] μὴ παυσάσθω ὁ ζη[τῶν . . . . . . , ἕως ἂν] εὕρῃ καὶ ὅταν εὕρῃ [θαμβηθήσεται, καὶ θαμ]βηθεὶς βασιλεύσει, κα[ὶ βασιλεύσας ἀναπα]ήσεται.

ζητῶν] + τὴν ζωήν GH, τὸν πατέρα Swete, τοῦ ζητεῖν Preuschen | θαμβηθήσεται] θαμβείσθω Swete. Vgl. Hebräerev. No. 24 o. S. 9, 23. 30

3 (10) οι ελκοντες ημας
η βασιλεια εν ουρα
τα πετεινα του ουρ
τι υπο την γην εστ
οι ιχθυες της θαλα 35
τες υμας και η βασ
εντος υμων . στι
γνω ταυτην ευρη
εαυτους γνωσεσθαι

εστε υμεις του πατρος του τ
γνωσθε εαυτους εν
και υμεις εστε ηπτο

GH: Λέγει Ἰ[ησοῦς· . . . . τίνες] οἱ ἕλκοντες ἡμᾶς [εἰς τὴν βασι-
5 λείαν εἰ] ἡ βασιλεία ἐν οὐρα[νῷ ἐστίν; . . . . .] τὰ πετεινὰ τοῦ οὐρ[ανοῦ
καὶ τῶν θηρίων ὅ]τι ὑπὸ τὴν γῆν ἐστ[ιν ἢ ἐπὶ τῆς γῆς καὶ] οἱ ἰχθύες
τῆς θαλά[σσης οὗτοι οἱ ἕλκον]τες ὑμᾶς, καὶ ἡ βασ[ιλεία τῶν οὐρανῶν]
ἐντὸς ὑμῶν [ἐ]στι [καὶ ὅστις ἂν ἑαυτὸν] γνῷ ταύτην εὑρή[σει . . . . .]
ἑαυτοὺς γνώσεσθε [καὶ εἰδήσετε ὅτι υἱοὶ] ἐστὲ ὑμεῖς τοῦ πατρὸς τοῦ
10 τ[. . . .] γνώσ<εσ>θε ἑαυτοὺς ἐν[. . . .] καὶ ὑμεῖς ἐστὲ ηπτο . . . . .

Swete: Λέγει Ἰ[ησοῦς· Τίνες εἰσὶν] οἱ ἕλκοντες ὑμᾶς [πρὸς τὴν
βασιλείαν;] ἡ βασιλεία ἐν οὐρα[νῷ· οἱ δὲ ἐπὶ γῆς καὶ] τὰ πετεινὰ τοῦ
οὐρ[ανοῦ καὶ πᾶν κτίσμα ὅ]τι ὑπὸ τὴν γῆν ἐστ[ὶν καὶ ἐν τῷ ᾅδῃ καὶ]
οἱ ἰχθύες τῆς θαλά[σσης, οὗτοι οἱ ἕλκον]τες ὑμᾶς. καὶ ἡ βασ[ιλεία
15 τῶν οὐρανῶν] ἐντὸς ὑμῶν [ἐ]στί[ν, καὶ ὅστις ἂν ἑαυτὸν] γνῷ, ταύτην
εὑρή[σει. ἐὰν γὰρ ἀληθῶς] ἑαυτοὺς γνώσεσθε, [υἱοὶ καὶ θυγατέρες]
ἐστὲ ὑμεῖς τοῦ πατρὸς τοῦ π[αντοκράτορος, καὶ] γνώσεσθε ἑαυτοὺς
ἐν[τὸς τῆς πόλεως ὄντας·] καὶ ὑμεῖς ἐστὲ ἡ πτ[όλις]. (Vgl. Lc. 17, 21.
Mt. 5, 48. Lc. 20, 36.)

20 Deissmann: Λέγει Ἰ[ησοῦς· Πῶς λέγουσιν] οἱ ἕλκοντες ἡμᾶς [εἰς
τὰ κριτήρια, ὅτι] ἡ βασιλεία ἐν οὐρα[νῷ ἐστιν; μήτι δύναται] τὰ
πετεινὰ τοῦ οὐρ[ανοῦ ἐπιγινώσκειν,] τί ὑπὸ τὴν γῆν ἐστ[ιν; καὶ τί ἐν
τῷ οὐρανῷ] οἱ ἰχθύες τῆς θαλά[σσης; οὕτως οἱ ἕλκον]τες ὑμᾶς. καὶ
ἡ βασ[ιλεία ὅμως μέντοι] ἐντὸς ὑμῶν [ἐ]στι[ν. καὶ ὃς ἐὰν τὰ ἐντὸς
25 ὑμῶν] γνῷ, ταύτην εὑρή[σει . . . . . .] ἑαυτοὺς γνώσεσθε [ἐνώπιον τοῦ
θεοῦ, καὶ υἱοί] ἐστε ὑμεῖς τοῦ πατρὸς τοῦ τ[ελείου ἐν οὐρανῷ]. γνώ-
σ<εσ>θε ἑαυτοὺς ἐν[ώπιον τῶν ἀνθρώπων] καὶ ὑμεῖς ἐστε, ἤ πτο[εῖσθε]

4 (11) ουκ αποκνησει ανθ
ρων επερωτησε πα
30 ρων περι του τοπου τη
σετε οτι πολλοι εσονται π
οι εσχατοι πρωτοι και
σιν

GH: [Λέγει Ἰησοῦς·] οὐκ ἀποκνήσει ἄνθ[ρωπος . . .] ρων ἐπερωτῆσαι
35 πα[. . . . .]ρων περὶ τοῦ τόπου τῆ[ς . . . . .]σετε ὅτι πολλοὶ ἔσονται
π[ρῶτοι ἔσχατοι καὶ] οἱ ἔσχατοι πρῶτοι καὶ [ζωὴν αἰώνιον ἕξου?]σιν.

Swete: [Λέγει Ἰησοῦς·] Οὐκ ἀποκνήσει ἄνθ[ρωπος περὶ τῶν και]ρῶν
ἐπερωτῆσαι πα[ρρησιαζόμενος. λη]ρῶν περὶ τοῦ τόπου τῆ[ς δόξης. ὑμεῖς

δὲ σιωπή]σετε· ὅτι πολλοὶ ἔσονται π[ρῶτοι ἔσχατοι καὶ] οἱ ἔσχατοι πρῶτοι καὶ [ὀλίγοι εὑρήσου]σιν. (Vgl. AG. 1, 7. Mc. 10, 31. Mt. 7, 14.)

Deissmann: [Λέγει Ἰησοῦς.] Οὐκ ἀποκνήσει ἄν[θρωπος κληθεὶς σώφ]ρων ἐπερωτῆσαι πά[ντως ἕνα τῶν κλητό]ρων περὶ τοῦ τόπου τῆ[ς δοχῆς ποῦ ἀνακλιθή]σεται. ὅτι πολλοὶ ἔσονται π[ρῶτοι ἔσχατοι καὶ] οἱ ἔσχατοι πρῶτοι καὶ [δόξαν εὑρήσου]σιν. (Vgl. Mt. 10, 26. Lc. 8, 17.) 5

5 (12) λεγει ιης ＞
θεν της οψεως σου και
απο σου αποκαλυφησέτ
τιν κρυπτον ο ου φανε 10
και θεθαμμενον ο ο

GH: Λέγει Ἰησοῦς· [Πᾶν τὸ μὴ ἔμπροσ]θεν τῆς ὄψεως σου καὶ [τὸ κεκρυμμένον] ἀπὸ σοῦ ἀποκαλυφ<θ>ήσετ[αί σοι. οὐ γάρ ἐσ]τιν κρυπτὸν ὃ οὐ φανε[ρὸν γενήσεται] καὶ τεθαμμένον ὃ ο[ὐκ ἐγερθήσεται.] (Vgl. Mt. 10, 26. Lc. 8, 17.) 15

13 ἀποκαλυφθήσεται· οὐ γὰρ Swete.

6 (13) . . εταζουσιν αυτον ο
. . γουσιν πως νηστευ
. . . . . μεθα και πως
. . . . . αι τι παρατηρησ 20
. . . . ν ＞ λεγει Ιης
. . . . . ειται μη ποιειτ
. . . . . ης αληθειας αν
. . . . . . . . . ν α . οκεκρ
. . . . . . . . καρι . . εστιν 25
. . . . . . . . . . . . ω εστ
. . . . . . . . . . . . . ιν
. . . . . . . . . . . . . . .

GH: [Ἐξ]εταζουσιν αὐτὸν ο[ἱ μαθηταὶ αὐτοῦ καὶ]
[λέ]γουσιν· πῶς νηστεύ[σομεν καὶ πῶς . . .] 30
. . . . . μεθα καὶ πῶς . . . . .
. . . . κ]αὶ τί παρατηρήσ[ομεν . . . . .
. . . . . ν; λέγει Ἰησοῦς· . . . . . .
. . . . . ειται μὴ ποιεῖτε . . . . . .
. . . . . ης ἀληθείας ἀν . . . . . . . 35
. . . . . . ν ἀπ[ο]κεκρ[υ . . . . .
. . . . . μα]κάρι[ός] ἐστιν . . . . . .
. . . . . . . το ἐστι . . . . . .

. . . . . . . . . . . ιν . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . .

Barnes (Anfang wie GH): κ]αὶ τί παρατηρή[σομεν, ἵνα ζωὴν ἔχωμε]ν; λέγει Ἰησοῦς· [Ὡς ποιοῦσιν οἱ ὑποκρ]ιταὶ μὴ ποιεῖτ[ε ὑμεῖς,
5 τῇ γαρ ὁδῷ τ]ῆς ἀληθείας ἀν[θίστανται, τὸν δὲ μισθὸν τὸ]ν ἀ[π]οκεκρ[υμμένον ἀθετοῦσιν· καὶ μα]κάρι[ός] ἐστιν, [ᾧ ὁ μισθὸς ἐν τῷ οὐραν]ῷ ἔστιν . . . . .

Swete: [Ἐξ]ετάζουσιν αὐτὸν ο[ἱ μαθηταὶ αὐτοῦ καὶ λέ]γουσιν· Πῶς νηστεύ[σωμεν; καὶ πῶς προσευξώ]μεθα; καὶ πῶς [ἐλεημοσύνην
10 ποιήσωμεν; κ]αὶ τί παρατηρησ[ώμεθα τῶν τοιούτω]ν; λέγει Ἰησοῦς· [Βλέπετε μὴ τὸν μισθὸν ἀπολ]εῖτε. μὴ ποιεῖτ[ε μηδὲν εἰ μὴ τὰ τ]ῆς ἀληθείας· ἂν [γὰρ ποιῆτε ταῦτα, γνώσεσθε μυστήριο]ν ἀποκεκρ[υμμένον. λέγω ὑμῖν· Μα]κάριός ἐστ[ιν ὃς ἂν . . . .

## XII. EVANGELIENFRAGMENT.

15 [Oxyrynchus Papyrus Nr. 655; Grenfell and Hunt, New Sayings of Jesus, London 1904, p. 39.]

. . ἀ]πὸ πρωὶ ἕ[ως ὀψὲ, μήτ]ε ἀφ᾽ ἑσπ[έρας ἕως π]ρωί, μήτε [τῇ τροφῇ ὑ]μῶν τί φά[γητε μήτε] τῇ στ[ολῇ ὑμῶν] τί ἐνδύ[ση]σθε. [πολ]λῷ κρεί[σσον]ές [ἐστε] τῶν [κρί]νων, ἅτι[να α]ὐξάνει οὐδὲ ν[ήθ]ει . .
20 ἓν ἔχοντ[ες ἐ]νδ[υ]μα τί ἐν . . . . καὶ ὑμεῖς; τίς ἂν προσθ<εί>η ἐπὶ τὴν ἡλικίαν ὑμῶν; αὐτὸ[ς δ]ώσει ὑμῖν τὸ ἔνδυμα ὑμῶν. λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· πότε ἡμῖν ἐμφανὴς ἔσῃ καὶ πότε σε ὀψόμεθα; λέγει· Ὅταν ἐκδύσησθε καὶ μὴ αἰσχυνθῆτε, . . . .

. . . ἔλ[εγε· τὴν κλεῖδα] τῆς [γνώσεως ἐ]κρύψ[ατε· αὐτοὶ οὐκ]
25 εἰσήλ[θατε, καὶ τοῖς] εἰσερ[χομένοις οὐ]κ ἀν[εῴξατε . . . . .

23 Vgl. S. 2, 30.

## XIII. HERRENLOSE HERRNWORTE.

1. μνημονεύειν τε τῶν λόγων τοῦ κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπεν· Μακάριόν ἐστιν μᾶλλον διδόναι ἢ λαμβάνειν. [Act. 20, 35.]
30 2. ἐπεὶ καὶ ὁ κύριος μακάριον εἶπεν εἶναι τὸν διδόντα ἤπερ τὸν λαμβάνοντα· καὶ γὰρ εἴρηται πάλιν ὑπ᾽ αὐτοῦ· Οὐαὶ τοῖς ἔχουσιν καὶ ἐν ὑποκρίσει λαμβάνουσιν ἢ δυναμένοις βοηθεῖν ἑαυτοῖς καὶ λαμβάνειν παρ᾽ ἑτέρων βουλομένοις· ἑκάτερος γὰρ ἀποδώσει λόγον κυρίῳ τῷ θεῷ ἐν ἡμέρᾳ κρίσεως. Apost. Konstit. IV, 3, 1.

3. **a.** Διὸ φησὶν ὁ σωτήρ· Ὁ ἐγγύς μου ἐγγὺς τοῦ πυρός· ὁ δὲ μακρὰν ἀπ᾽ ἐμοῦ μακρὰν ἀπὸ τῆς βασιλείας. [Didymus, in Ps. 88, 8.] **b.** Ait autem ipse saluator: *Qui iuxta me est, iuxta ignem est; qui longe est a me, longe est a regno.* [Origenes, in Jerem. hom. XX, 3.] 5
4. Dixit Martha de Maria: Adspicite eam quomodo rideat. Et dixit Maria: Non ideo risi, quod dixit Dominus noster: Bonum est; nam infirmus conualescet firmiter. [Apostol. Kirchenordnung 26 nach dem Aethiopen; vgl. den griechischen Text: Μάρθα εἶπεν διὰ Μαριάμ, ὅτι εἶδεν αὐτὴν μειδιῶσαν. Μαρία εἶπεν· οὐκέτι 10 ἐγέλασα· προέλεγε γὰρ ἡμῖν, ὅτε ἐδίδασκεν, ὅτι Τὸ ἀσθενὲς διὰ τοῦ ἰσχυροῦ σωθήσεται.]
5. Διὰ τοῦτο λέγει ὁ σωτήρ· Σῴζου σu καὶ ἡ ψυχή σου. (Vgl. Gen. 17, 19.) [Clemens Al., Excerpta e Theod. 2.]
6. Οὐ γὰρ φθονῶν, φησί (ein Prophet), παρήγγειλεν ὁ κύριος ἔν 15 τινι εὐαγγελίῳ· Μυστήριον ἐμὸν ἐμοὶ καὶ τοῖς υἱοῖς τοῦ οἴκου μου. (cf. Jes. 24, 16.) [Clemens Al., Strom. V, 10, 63; Clement. homil. 19, 20 (u. S. 63, 4f.), wo am Ende φυλάξατε zugefügt ist.]
7. ἀλλ᾽ ἀκούων τοῦ κυρίου λέγοντος· Ἐπιμελεῖσθε πίστεως, καὶ ἐλπίδος, δι᾽ ὧν γεννᾶται ἡ φιλόθεος καὶ φιλάνθρωπος ἀγάπη 20 ἡ τὴν αἰώνιον ζωὴν παρέχουσα. [Macarius Aeg., hom. XXXVII, 1.]
8. Τῇ αὐτῇ ἡμέρᾳ θεασάμενός τινα ἐργαζόμενον τῷ σαββάτῳ εἶπεν αὐτῷ· Ἄνθρωπε εἰ μὲν οἶδας, τί ποιεῖς, μακάριος εἶ· εἰ δὲ μὴ οἶδας, ἐπικατάρατος καὶ παραβάτης εἶ τοῦ νόμου. [Cod. Bezae 25 zu Lc. 6, 4.]
9. Λοιπὸν ὁ κύριος ἔλεγεν αὐτοῖς· Τί θαυμάζετε τὰ σημεῖα; κληρονομίαν μεγάλην δίδωμι ὑμῖν, ἣν οὐκ ἔχει ὁ κόσμος ὅλος. [Macarius Aeg., hom. XII, 17.]
10. **a.** Αἰτεῖσθε, γάρ φησι, τὰ μεγάλα καὶ τὰ μικρὰ ὑμῖν προστε- 30 θήσεται. [Clemens Alex., Strom. I, 24, 158.] **b.** Κατανοήσωμεν τὸ Αἰτεῖτε τὰ μεγάλα καὶ τὰ μικρὰ ὑμῖν προστεθήσεται, καὶ αἰτεῖτε τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια ὑμῖν προστεθήσεται. [Origenes, de orat. 14, 1; vgl. 2, 2 u. ö.]
11. **a.** Εἰκότως ἄρα καὶ ἡ γραφὴ τοιούτους τινὰς ἡμᾶς διαλεκτικοὺς 35 οὕτως ἐθέλουσα γενέσθαι παραινεῖ· Γίνεσθε δὲ δόκιμοι τραπεζῖται, τὰ μὲν ἀποδοκιμάζοντες, τὸ δὲ καλὸν κατέχοντες. [Clemens Al., Strom. I, 28, 177.] **b.** μετὰ δὲ ταῦτα καὶ ὁ κατὰ τὴν

γραφὴν ὀνομαζόμενος δοκίμος τραπεζίτης, καὶ εἰδὼς πάντα δοκιμάζειν καὶ τὸ μὲν καλὸν κατέχειν ἀπέχεσθαι δὲ παντὸς πονηροῦ εἴδους. (Vgl. 1 Thess. 5, 21 f.) [Origenes, in Matth. XVII, 31; IV, 150 Lommatzsch u. ö.]

**12.** Καὶ Ἰησοῦς γοῦν φησί· Διὰ τοὺς ἀσθενοῦντας ἠσθένουν καὶ διὰ τοὺς πεινῶντας ἐπείνων, καὶ διὰ τοὺς διψῶντας ἐδίψων. [Origenes, in Matth. XIII, 2.]

**13.** **a.** Ναὶ μὴν καὶ περὶ ἀγάπης Ἀγάπη, φησί, καλύπτει πλῆθος ἁμαρτιῶν. [Clemens Al., Paed. III, 12, 91; vgl. I. Petr. 4, 8.]
**b.** (Der Bischof) sei barmherzig, hilfreich und liebevoll; denn der Herr sagt: „Die Liebe bedeckt die Menge der Sünden.“ [Didask. Apost. Syr. 4. (S. 14, 32 Flemming).]

**14.** **a.** Εἶδες, γάρ φησι, τὸν ἀδελφόν σου, εἶδες τὸν θεόν σου. [Clemens Alex., Strom. I, 19, 94. II, 15, 70; Histor. monach. 55.]
**b.** *uidisti,* inquit, *fratrem, uidisti dominum tuum.* [Tertullian, de orat. 26.]

**15.** Λέγει δὲ κύριος· Ἰδού, ποιῶ τὰ ἔσχατα ὡς τὰ πρῶτα. [Barnabas, 6, 13.]

**16.** **a.** Εἶπεν γάρ μοι ὁ κύριος· Ἐὰν μὴ ποιήσητε ὑμῶν τὰ κάτω εἰς τὰ ἄνω καὶ τὰ ἀριστερὰ εἰς τὰ δεξιὰ οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν μου. [Acta Philippi 34.] **b.** Dominus in mysterio dixerat: *Si non feceritis dexteram sicut sinistram et sinistram sicut dexteram, et quae sursum sunt sicut deorsum et quae ante sicut quae retro, non cognoscetis regnum dei.* [Ps. Linus, Martyr. Petri ed. Lipsius et Bonnet, Acta Ap. I, 17.] **c.** Dieser ist der Messias . . ., durch den *das Rechte links ist und das, was unten ist, wie das, was oben ist und das, was rückwärts ist, wie das, was vorne ist.* [Testament. domini nostri Jesu Christi I, Instr. Mystagog. ed. Rahmani, p. 64.] Vgl. u. S. 75, 18.

**17.** Monet dominus et dicit: *Nolite contristare spiritum sanctum, qui in uobis est, et nolite extinguere lumen, quod in uobis effulsit.* [Pseudo-Cyprian. de aleator. 3.]

**18.** Πάλιν ὁ κύριός φησιν· ὁ γήμας μὴ ἐκβαλλέτω καὶ ὁ μὴ γήμας μὴ γαμείτω· ὁ κατὰ πρόθεσιν εὐνουχίας ὁμολογήσας μὴ γῆμαι ἄγαμος διαμενέτω. [Clemens Al., Strom. III, 15, 97.]

**19.** Εἴ τις μεταλάβῃ τὸ σῶμα τοῦ κυρίου καὶ λούσεται ἐπικατάρατος ἔσται, καθὼς εἶπεν ὁ κύριος. [ὅρος κανονικὸς τῶν ἁγ. ἀποστ. 3 bei Lagarde, reliq. iuris eccl. p. 36.]

**20.** Sed apostolis, inquit, dominus noster interrogantibus de Judaeorum prophetis quid sentiri deberet, qui de aduentu eius aliquid cecinisse in praeteritum putabantur, commotus talia eos etiam nunc sentire respondit: *Dimisistis uiuum, qui ante uos est, et de mortuis fabulamini.* Quid mirum, (quandoquidem hoc testimonium de scripturis nescio quibus apocryphis protulit) si de prophetis dei talia confinxerunt haeretici, qui easdam literas non accipiunt [Augustinus, Contra aduersarium legis et prophet. II, 4, 14.] 5

**21.** **a.** Λέγει γὰρ ἡ γραφή· Ἀνὴρ ἀδόκιμος ἀπείραστος. [Didasc. II. 8 (Syr. p. 14 sq. Lagarde).] **b.** Nam et praecesserat (näml. Mc. 14, 38, 47 ff.) dictum neminem intentatum regna coelestia consecuturum. [Tertullian, de bapt. 20.] 10

**22.** Ὑμεῖς δὲ ζητεῖτε ἐκ μικροῦ αὐξῆσαι καὶ ἐκ μείζονος ἔλαττον εἶναι. εἰσερχόμενοι δὲ καὶ παρακληθέντες δειπνῆσαι μὴ ἀνακλίνεσθε εἰς τοὺς ἐξέχοντας τόπους, μήποτε ἐνδοξότερός σου ἐπέλθῃ καὶ προσελθὼν ὁ δειπνοκλήτωρ εἴπῃ σοι· ἔτι κάτω χώρει, καὶ καταισχυνθήσῃ. ἐὰν δὲ ἀναπέσῃς εἰς τὸν ἥττονα τόπον καὶ ἐπέλθῃ σου ἥττων, ἐρεῖ σοι ὁ δειπνοκλήτωρ· σύναγε ἔτι ἄνω, καὶ ἔσται σοι τοῦτο χρήσιμον. (Lc. 14, 8 ff.) [Codex Bezae zu Mt. 20, 28 bei Nestle, Supplement. N. T. p. 12 sq.] 15 20

**23.** **a.** . . . quemadmodum uerbum eius ait: *Omnibus diuisum esse a patre, secundum quod quis dignus est aut erit.* [Irenaeus V, 36, 2; griech. etwa: πᾶσιν ἐμερίσθη ὑπὸ τοῦ πατρός, καθώς τις ἄξιός ἐστιν ἢ ἔσται.] **b.** Τοῦ οὖν κυρίου διηγουμένου τοῖς μαθηταῖς περὶ τῆς μελλούσης τῶν ἁγίων βασιλείας, ὡς εἴη ἔνδοξος καὶ θαυμαστή, καταπλαγεὶς ὁ Ἰούδας ἐπὶ τοῖς λεγομένοις ἔφη· ‛Καὶ τίς ἄρα ὄψεται ταῦτα’; ὁ δὲ κύριος ἔφη· ‛Ταῦτα ὄψονται οἱ ἄξιοι γενόμενοι’. [Hippolyt., Danielcomm. IV, 60. Vgl. Papias, Frgm. 12 a. Ende.] 25 30

**24.** Tale quid et illud euangelii sonat: *Est confusio, quae ducit ad mortem, et est confusio, quae ducit ad uitam.* [Hieronymus, Comment. in Ezech. 16, 52.]

**25.** **a.** . . . wie auch unser Herr und Heiland Jesus gesagt hat: „*Es werden Haeresien und Spaltungen entstehen.*“ [Didask. Apostol. Syr. 23 (S. 118, 35 Flemming).] **b.** εἶπε γάρ· πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου ἔξωθεν ἐνδεδυμένοι δέρματα προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες (Mt. 7, 15)· καί· Ἔσονται 35

σχίσματα καὶ αἱρέσεις. [Justin, Dial. 35, Evangelienzitate Justins Nr. 38.] Vgl. I. Kor. 11, 19.

**26.** Ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ (Mt. 10, 10)· καί· ἀρκετόν τῷ ἐργαζομένῳ ἡ τροφὴ αὐτοῦ. [Epiphan., haeres. 80, 5.]

5 **27.** Ὁ μὴ ἐργαζόμενος γὰρ μὴ ἐσθιέτω· ἐν ἱδρῶτι γάρ τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου φασὶ τὰ λόγια. [Ps. Ignat. ad Magnes. 9, 3.] Vgl. 2 Thess. 3, 10. Gen. 3, 19.

**28.** Ipso nos instruente et monente (sc. domino) in epistula Johannis discipuli sui ad populum: *Ita me in uobis uidete, quomodo quis*

10 *uestrum se uidet in aquam aut speculum.* [Ps. Cyprian, de duob. montib. 13.]

**29.** ... τὸ εὐαγγελικὸν ῥῆμα τὸ λέγον· Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. [Theodor. Balsamo, ep. de Rasaph. (Migne, gr. 138, 1373).]

15 **30.** **a.** ... ὁ δὲ κύριος ἀγαθὸς ὢν λέγει· Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν ..... ὡδὶ πέφηνε τοίνυν καὶ ἐν νόμῳ καὶ ἐν εὐαγγελίῳ εἶναι τὸ Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. [Dial. de recta in deum fide I, 13] **b.** Οὐ γὰρ ὑπακούουσι, τοῦ σωτῆρος λέγοντος ὡς· Ὕπαγε πρῶτον, διαλλά-

20 γηθι τῷ ἀδελφῷ σου καὶ οὕτως προσάγαγε τὸ δῶρόν σου (Mt. 5, 24). καὶ ἀλλαχοῦ Μὴ ἐπιδυέτω, φησίν, ὁ ἥλιος ἐπὶ τῷ παραργισμῷ ὑμῶν. [Vita Syncleticae 63.]

**31.** **a.** Λαμψάτω γάρ σου τὰ ἔργα (Mt. 5, 16) καὶ ἰδοὺ ἄνθρωπος καὶ τὰ ἔργα αὐτοῦ πρὸ προσώπου αὐτοῦ. [Clemens Alex., Strom.

25 IV, 26, 171.] **b.** Sicut scriptum est: *Ecce homo et facta eius.* [Tertullian, de idolol. 20.]

**32.** Ἀλλὰ καὶ ἐν τῷ εἰρηκέναι Πολλάκις ἐπεθύμησα ἀκοῦσαι ἕνα τῶν λόγων τούτων, καὶ οὐκ ἔσχον τὸν ἐροῦντα ἐμφαίνοντός φασιν εἶναι διὰ τοῦ ἑνὸς τὸν ἀληθῶς ἕνα θεόν, ὃν οὐκ ἐγνώκει-

30 σαν. [Irenaeus I, 20, 2; vgl. Epiph., haer. 34, 19.]

**33.** Τὰ δὲ τέκνα τῆς σοφίας καὶ ἐν τῷ εὐαγγελίῳ ἀναγέγραπται· Καὶ ἀποστέλλει ἡ σοφία τὰ τέκνα αὐτῆς. [Origenes, in Jerem. hom. XIV. 5.]

**34.** Οὕτω, φησίν, οἱ θέλοντές με ἰδεῖν καὶ ἅψασθαί μου τῆς βασι-

35 λείας ὀφείλουσιν θλιβέντες καὶ παθόντες λαβεῖν με. [Barnab. 7, 11.]

**35.** Οὕτως γὰρ εἶπεν· Ἐλεᾶτε, ἵνα ἐλεηθῆτε· ἀφίετε ἵνα ἀφεθῇ ὑμῖν· ὡς ποιεῖτε, οὕτως ποιηθήσεται ὑμῖν· ὡς δίδοτε, οὕτως

δοθήσεται ὑμῖν· ὡς κρίνετε, οὕτως κριθήσεσθε· ὡς χρηστεύεσθε, οὕτως χρηστευθήσεται ὑμῖν· ᾧ μέτρῳ μετρεῖτε, ἐν αὐτῷ μετρηθήσεται ὑμῖν. [I. Clemens 13, 2; vgl. Mt. 5, 7. 6, 14. 7, 1 f. 12. Lc. 6, 31. 37 f.]

36. Πάντα δὲ ὅσα ἐὰν θελήσῃς μὴ γίνεσθαί σοι, καὶ σὺ ἄλλῳ μὴ ποίει. [Didache 1, 2.] 5

37. Ἀλλὰ καὶ περὶ τούτου δὲ εἴρηται· Ἱδρωσάτω ἡ ἐλεημοσύνη σου εἰς τὰς χεῖρας σου μέχρις ἂν γνῷς τίνι δῷς. [Didache 1, 6.]

38. „*Wie lange werde ich bei euch sein und zu euch reden?*" (Mc. 9, 19). 10 Und etwa das ist es, daß er sagt: „*Es war bekümmert meine Seele über dieses Geschlecht. Sie versuchten mich*, sagt er, *zehnmal und zwanzigmal, zehnmal zehnmal.*" [Ephraem Syr., Evang. conc. expos. 17 p. 186 der Venediger Ausgabe (Moesinger p. 203 sehr ungenau).] 15

39. Wie in allen Nöten Christus ein Schützer war für seine Schafe, so tröstete er sie auch in dieser Einsamkeit in der Betrübnis, indem er bei sich sprach: „*Wer allein ist, bei dem bin ich*", damit nicht traurig wären alle Einsamen; denn er ist unsere Freude und ist bei uns. „*Und wo zwei sind, da werde ich bei ihnen* 20 *sein*"; denn das Erbarmen seiner Gnade ist ein Schirm (Schatten) über uns. Und wann wir drei sind, so versammeln wir uns gleichsam in der Gemeinde ... [Ephraem Syr., Evang. conc. 15 p. 152 (Moesinger p. 165).] Vgl. Λόγια Ἰησοῦ 4.

40. Ὅθεν εἰκότως εὐαγγελίζεται τοῖς πεπιστευκόσιν· „Οἱ δὲ ἅγιοι 25 κυρίου κληρονομήσουσι τὴν δόξαν τοῦ θεοῦ καὶ τὴν δύναμιν αὐτοῦ." ποίαν, ὦ μακάριε, δόξαν, εἰπέ μοι· „ἣν ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσεν οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· καὶ χαρήσονται ἐπὶ τῇ βασιλείᾳ τοῦ κυρίου αὐτῶν εἰς τοὺς αἰῶνας· ἀμήν." [Clemens Alex., Protrept. 10, 94, 3.] 30

Weitere Agrapha s. XIV, 11. XV, 47. XVI, 36. XVII, 62 ff.

Über Jesus im Talmud vgl. A. Meyer, Handbuch d. Apokryphen S. 47 ff.

## XIV. DIE EVANGELIENZITATE IM SOG. II. CLEMENSBRIEF.

1. (Lc. 6, 32. 35; vgl. Mt. 5, 43 ff.) Ὅταν γὰρ ἀκούσωσιν παρ ἡμῶν, ὅτι λέγει ὁ θεός· Οὐ χάρις ὑμῖν εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ἀλλὰ χάρις ὑμῖν εἰ ἀγαπᾶτε τοὺς ἐχθροὺς καὶ τοὺς μι-
5 σοῦντας ὑμᾶς· ταῦτα ὅταν ἀκούσωσιν, θαυμάζουσιν τὴν ὑπερβολὴν τῆς ἀγαθότητος. [13. 4.]

2. (Lc. 16, 13. Mt. 6, 24.) Λέγει δὲ ὁ κύριος· Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν. ἐὰν ἡμεῖς θέλωμεν καὶ θεῷ δουλεύειν καὶ μαμωνᾷ, ἀσύμφορόν ἡμῖν ἐστίν. [6, 1.]

10 3. (Mt. 7, 21.) Μὴ μόνον οὖν αὐτὸν καλῶμεν κύριον· οὐ γὰρ τοῦτο σώσει ἡμᾶς. λέγει γάρ· Οὐ πᾶς ὁ λέγων μοι 'κύριε, κύριε' σωθήσεται, ἀλλ' ὁ ποιῶν τὴν δικαιοσύνην. [4, 1 f.]

4. (Mt. 9, 13.) Καὶ ἑτέρα δὲ γραφὴ λέγει ὅτι Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλούς. [2, 4.]

15 5. (Mt. 10, 32.) Λέγει δὲ καὶ αὐτός· Τὸν ὁμολογήσαντά με ἐνώπιον τῶν ἀνθρώπων, ὁμολογήσω αὐτὸν ἐνώπιον τοῦ πατρός μου. [3, 2.]

6. (Mt. 12, 50.) Καὶ γὰρ εἶπεν ὁ κύριος· Ἀδελφοί μου οὗτοί εἰσιν οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου. [9, 11.]

20 7. (Mt. 16, 26.) Τί γὰρ τὸ ὄφελος, ἐάν τις τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν ζημιωθῇ. [6, 2.]

8. (Mt. 25, 21. 23. Lc. 16, 10.) Λέγει γὰρ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ· Εἰ τὸ μικρὸν οὐκ ἐτηρήσατε, τὸ μέγα τίς ὑμῖν δώσει; λέγω γὰρ ὑμῖν, ὅτι ὁ πιστὸς ἐν ἐλαχίστῳ καὶ ἐν πολλῷ πιστός
25 ἐστιν. ἄρα οὖν τοῦτο λέγει· „τηρήσατε τὴν σάρκα ἁγνὴν καὶ τὴν σφραγῖδα ἄσπιλον, ἵνα τὴν ζωὴν ἀπολάβωμεν.“ [8, 5.] Vgl. Irenaeus II, 64, 3: et ideo dominus dicebat ingratis existentibus in eum: *Si in modico fideles non fuistis, quod magnum est quis dabit uobis?*

9. (Vgl. Mt. 7, 22 f. Lc. 13, 25 ff.) Διὰ τοῦτο, ταῦτα ὑμῶν
30 πρασσόντων, εἶπεν ὁ κύριος· Ἐὰν ἦτε μετ' ἐμοῦ συνηγμένοι ἐν τῷ κόλπῳ μου καὶ μὴ ποιῆτε τὰς ἐντολάς μου, ἀποβαλῶ ὑμᾶς καὶ ἐρῶ ὑμῖν· ὑπάγετε ἀπ' ἐμοῦ· οὐκ οἶδα ὑμᾶς, πόθεν ἐστέ, ἐργάται ἀνομίας. [4, 5.]

10. (Vgl. Mt. 10, 16. 28; Lc. 10, 3. 12, 4 f.) Λέγει γὰρ ὁ κύ-
35 ριος· Ἔσεσθε, ὡς ἀρνία ἐν μέσῳ λύκων. ἀποκριθεὶς δὲ ὁ Πέτρος αὐτῷ λέγει· Ἐὰν οὖν διασπαράξωσιν οἱ λύκοι τὰ ἀρνία; εἶπεν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Μὴ φοβείσθωσαν τὰ ἀρνία τοὺς λύκους μετὰ

τὸ ἀποθανεῖν αὐτά· καὶ ὑμεῖς μὴ φοβεῖσθε τοὺς ἀποκτέννοντας ὑμᾶς καὶ μηδὲν ὑμῖν δυναμένους ποιεῖν, ἀλλὰ φοβεῖσθε τὸν μετὰ τὸ ἀποθανεῖν ὑμᾶς ἔχοντα ἐξουσίαν ψυχῆς καὶ σώματος τοῦ βαλεῖν εἰς γέενναν τοῦ πυρός. [5, 2—4.]

11. Ἐπερωτηθεὶς [Hieros. ἐρωτηθεὶς] γὰρ αὐτὸς ὁ κύριος ὑπό 5 τινος, πότε ἥξει αὐτοῦ ἡ βασιλεία, εἶπεν· Ὅταν ἔσται τὰ δύο ἕν, καὶ τὸ [H. τὰ] ἔξω ὡς τὸ ἔσω, καὶ τὸ [H. τὰ] ἄρσεν μετὰ τῆς θηλείας οὔτε ἄρσεν οὔτε θῆλυ. [12, 2.] Vgl. Aegypterev. 1 c.

## XV. DIE EVANGELIENZITATE JUSTINS.

[Der Stern vor der Nr. bezeichnet direkte Zitate, doppelter Stern Quellenangabe.] 10

### A. VORGESCHICHTE.

#### 1. *Genealogie.*

1. (Mt. 1, 1—17). Ἀπεκάλυψεν οὖν ἡμῖν πάντα, ὅσα καὶ ἀπὸ τῶν γραφῶν διὰ τῆς χάριτος αὐτοῦ νενοήκαμεν, γνόντες αὐτὸν πρωτότοκον μὲν τοῦ θεοῦ καὶ πρὸ πάντων τῶν κτισμάτων καὶ τῶν 15 πατριαρχῶν υἱόν, ἐπειδὴ διὰ τῆς ἀπὸ γένους αὐτῶν παρθένου σαρκοποιηθεὶς . . . υἱὸν οὖν ἀνθρώπου ἑαυτὸν ἔλεγεν, ἤτοι ἀπὸ τῆς γεννήσεως τῆς διὰ παρθένου, ἥτις ἦν, ὡς ἔφην, ἀπὸ τοῦ Δαβὶδ καὶ Ἰακὼβ καὶ Ἰσαὰκ καὶ Ἀβραὰμ γένους, ἢ διὰ τὸ εἶναι αὐτὸν τὸν Ἀδὰμ [Cod. Ἀβραὰμ] πατέρα καὶ τούτων τῶν κατηριθμημένων, ἐξ ὧν 20 κατάγει ἡ Μαρία τὸ γένος· καὶ γὰρ πατέρας τῶν γεννωμένων ταῖς θυγατράσιν αὐτῶν τέκνων τοὺς τῶν θηλειῶν γεννήτορας ἐπιστάμεθα. [dial. 100 p. 326 D.]

2. a. Οὕτω γὰρ λέγει (Gott) τῷ Ἰσαάκ· „καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς“· τῷ δὲ Ἰακώβ· „Καὶ εὐλο- 25 γηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐν τῷ σπέρματί σου. οὐκέτι τοῦτο τῷ Ἠσαῦ οὐδὲ τῷ Ῥουβὶμ λέγει, οὐδὲ ἄλλῳ τινὶ, ἀλλ' ἐκείνοις ἐξ ὧν ἔμελλεν ἔσεσθαι κατὰ τὴν οἰκονομίαν τὴν διὰ τῆς παρθένου Μαρίας ὁ χριστός. εἴγε δὲ καὶ τὴν εὐλογίαν Ἰούδα καταμάθοις, ἴδοις ἂν ὃ λέγω· μερίζεται γὰρ τὸ σπέρμα ἐκ Ἰακώβ, καὶ 30 διὰ Ἰούδα καὶ Φαρὲς καὶ Ἰεσσαὶ καὶ Δαβὶδ κατέρχεται. [dial. 120; 348 A]. b. . . . (περιτομή) παύσασθαι ἔδει κατὰ τὴν τοῦ πατρὸς βουλὴν εἰς τὸν διὰ τῆς ἀπὸ τοῦ γένους τοῦ Ἀβραὰμ καὶ φυλῆς Ἰούδα καὶ <οἴκου> Δαβὶδ παρθένου γεννηθέντα υἱὸν τοῦ θεοῦ Χριστόν . . . [dial. 43; 261 C.] [Vgl. Apol. I, 32. dial. 23. 66. 45. 101.] 35

2. *Verkündigung der Geburt. Geburt Johannis des Täufers.*

3. (Mt. 1, 22 f.). Καὶ πάλιν ὡς αὐτολεξεὶ διὰ παρθένου μὲν τεχθησόμενος διὰ τοῦ Ἡσαίου προεφητεύθη ἀκούσατε· ἐλέχθη δὲ οὕτως· „Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν· καὶ ἐροῦσιν ἐπὶ τῷ ὀνόματι αὐτοῦ· μεθ᾽ ἡμῶν ὁ θεός“ (7, 14). . . . τὸ οὖν „Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει“ σημαίνει οὐ συνουσιασθεῖσαν τὴν παρθένον συλλαβεῖν. εἰ γὰρ ἐσυνουσιάσθη ὑπὸ ὁτουοῦν, οὐκέτι ἦν παρθένος· ἀλλὰ δύναμις θεοῦ ἐπελθοῦσα τῇ παρθένῳ ἐπεσκίασεν αὐτὴν καὶ κυοφορῆσαι παρθένον οὖσαν πεποίηκε. (Das Folgende s. Nr. 6.) [ap. I, 33 p. 74 E sq.]

*4. (Lc. 1, 35. 38). . . . πίστιν τε καὶ χαρὰν λαβοῦσα Μαρία ἡ παρθένος εὐαγγελιζομένου αὐτῇ Γαβριὴλ ἀγγέλου, ὅτι πνεῦμα κυρίου ἐπ᾽ αὐτὴν ἐπελεύσεται καὶ δύναμις ὑψίστου ἐπισκιάσει αὐτήν· διὸ καὶ τὸ γεννώμενον ἐξ αὐτῆς ἅγιόν ἐστιν, υἱὸς θεοῦ: ἀπεκρίνατο· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. [dial. 100 p. 327 D.]

5. (Mt. 1, 18 ff.). Καὶ Ἰωσὴφ δὲ ὁ τὴν Μαρίαν μεμνηστευμένος βουληθεὶς πρότερον ἐκβαλεῖν τὴν μνηστὴν αὐτῷ Μαριάμ, νομίζων ἐγκυμονεῖν αὐτὴν ἀπὸ συνουσίας ἀνδρός, τουτέστιν ἀπὸ πορνείας, δι᾽ ὁράματος κεκέλευστο μὴ ἐκβαλεῖν τὴν γυναῖκα αὐτοῦ, εἰπόντος αὐτῷ τοῦ φανέντος ἀγγέλου, ὅτι ἐκ πνεύματος ἁγίου ὃ ἔχει κατὰ γαστρός ἐστιν. φοβηθεὶς οὖν οὐκ ἐκβέβληκεν αὐτήν . . . . [dial. 78 p. 303 D, vgl. Nr. 9.] Die Jungfrauengeburt ist noch erwähnt: Apol. I, 22 p. 68 A. 31 p. 73 A. 32 p. 74 D. 33 ib. 46 p. 83 D. 63 p. 96 D. Dial. 23 p. 241 B. 43 p. 261 C. 45 p. 264 A. 48 p. 267 C. 63 p. 286 C. 66 p. 290 D. 291 A. 84 p. 310 B. 85 p. 311 B. 100 p. 326 E. 327 A. D. 105 p. 332 D. 113 p. 340 E. 120 p. 348 B. 127 p. 357 C.

**6. Καὶ ὁ ἀποσταλεὶς δὲ πρὸς αὐτὴν τὴν παρθένον κατ᾽ ἐκεῖνο τοῦ καιροῦ ἄγγελος θεοῦ εὐηγγελίσατο αὐτὴν εἰπών· Ἰδοὺ συλλήψῃ ἐν γαστρὶ ἐκ πνεύματος ἁγίου καὶ τέξῃ υἱὸν καὶ υἱὸς ὑψίστου κληθήσεται καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν (Lc. 1, 31 f.)· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν (Mt. 1, 21)· ὡς οἱ ἀπομνημονεύσαντες πάντα τὰ περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐδίδαξαν, οἷς ἐπιστεύσαμεν . . . [ap. I, 33 p. 75 A.] [Vgl. dial. 43. 66.]

(Lc. 1, 57 ff.). . . . Ἐλισάβετ, ἡ τὸν βαπτιστὴν τεκοῦσα . . . [dial. 84, p. 310 D.]

### 3. *Die Geburt Jesu. Die Magier. Flucht nach Ägypten. Der Kindermord.*

7. (Mt. 2, 5 f.). **a.** Ὅπου δὲ καὶ τῆς γῆς γεννᾶσθαι ἔμελλεν, ὡς προεῖπεν ἕτερος προφήτης, ὁ Μιχαίας (5, 2), ἀκούσατε. ἔφη δὲ οὕτως· „Καὶ σὺ Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν 5
Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου". κώμη δέ τίς ἐστιν ἐν τῇ χώρᾳ Ἰουδαίων, ἀπέχουσα σταδίους τριάκοντα πέντε Ἱεροσολύμων, ἐν ᾗ ἐγεννήθη Ἰησοῦς Χριστός, ὡς καὶ μαθεῖν δύνασθε ἐκ τῶν ἀπογραφῶν τῶν γενομένων ἐπὶ Κυρηνίου, τοῦ ὑμετέρου ἐν Ἰουδαίᾳ πρώτου γενομένου ἐπιτρόπου. [ap. I, 34 10
p. 75 D.] **b.**... πρὸ ἐτῶν ἑκατὸν πεντήκοντα γεγεννῆσθαι τὸν Χριστὸν λέγειν ἡμᾶς ἐπὶ Κυρηνίου.... [ap. I, 46 p. 83 B.]

**8. **a.** (Mt. 2, 1—13). Ἅμα γὰρ τῷ γεννηθῆναι αὐτὸν μάγοι ἀπὸ Ἀρραβίας παραγενόμενοι προσεκύνησαν αὐτῷ, πρότερον ἐλθόντες πρὸς Ἡρῴδην τὸν ἐν τῇ γῇ ὑμῶν τότε βασιλεύοντα. — Καὶ γὰρ 15
οὗτος ὁ βασιλεὺς Ἡρῴδης μαθὼν παρὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ ὑμῶν . . ., τότε ἐλθόντων πρὸς αὐτὸν τῶν ἀπὸ Ἀρραβίας μάγων καὶ εἰπόντων, ἐξ ἀστέρος τοῦ ἐν τῷ οὐρανῷ φανέντος ἐγνωκέναι, ὅτι βασιλεὺς γεγένηται ἐν τῇ χώρᾳ ὑμῶν καὶ ἤλθομεν προσκυνῆσαι αὐτόν (vgl. Mt. 2, 2), καὶ ἐν Βηθλεὲμ τῶν πρεσβυτέρων εἰπόντων ὅτι 20
γέγραπται ἐν τῷ προφήτῃ οὕτως· „Καὶ σὺ Βηθλεὲμ κτλ". [Vgl. o. Z. 5.] τῶν ἀπὸ Ἀρραβίας οὖν μάγων ἐλθόντων εἰς Βηθλεὲμ καὶ προσκυνησάντων τὸ παιδίον καὶ προσενεγκάντων αὐτῷ δῶρα χρυσὸν καὶ λίβανον καὶ σμύρναν· ἐπειδὴ [l. ἔπειτα] κατὰ ἀποκάλυψιν μετὰ τὸ προσκυνῆσαι τὸν παῖδα ἐν Βηθλεὲμ ἐκελεύσθησαν μὴ ἐπανελθεῖν πρὸς τὸν 25
Ἡρῴδην. [dial. 77 f. p. 303 A B.] — **b.** ἀνατείλαντος οὖν καὶ ἐν οὐρανῷ ἅμα τῷ γεννηθῆναι αὐτὸν ἀστέρος ὡς γέγραπται ἐν τοῖς ἀπομνημονεύμασιν τῶν ἀποστόλων αὐτοῦ, οἱ ἀπὸ Ἀρραβίας μάγοι ἐκ τούτου ἐπιγνόντες . . . παρεγένοντο καὶ προσεκύνησαν αὐτῷ. [dial. 106 p. 334 B.] — **c.** μαρτύριον δὲ καὶ τοῦτο ἔστω ὑμῖν, ὃ ἔφην 30
πρὸς ὑμᾶς γεγονέναι ὑπὸ τῶν Ἀρραβίας μάγων, οἵτινες ἅμα τῷ γεννηθῆναι τὸ παιδίον ἐλθόντες προσεκύνησαν αὐτῷ. [dial. 88 p. 315 C.] — **d.** ἅμα γὰρ τῷ γεννηθῆναι αὐτὸν ἐν Βηθλεέμ, ὡς προέφην, παρὰ τῶν ἀπὸ Ἀρραβίας μάγων μαθὼν Ἡρῴδης ὁ βασιλεὺς τὰ κατ' αὐτόν, ἐπεβούλευσεν ἀνελεῖν αὐτόν.... [dial. 102 p. 328 E; vgl. 103 p. 330 E.] 35

9. (Lc. 2, 1 ff.). Ἀλλὰ ἀπογραφῆς οὔσης ἐν τῇ Ἰουδαίᾳ τότε πρώτης ἐπὶ Κυρηνίου, ἀνεληλύθει ἀπὸ Ναζαρέτ, ἔνθα ᾤκει, εἰς

Βηθλεέμ, ὅθεν ἦν, ἀπογράψασθαι· ἀπὸ γὰρ τῆς κατοικούσης τὴν γῆν ἐκείνην φυλῆς Ἰούδα τὸ γένος ἦν. . . . γεννηθέντος δὲ τότε τοῦ παιδίου ἐν Βηθλεέμ, ἐπειδὴ Ἰωσὴφ οὐκ εἶχεν ἐν τῇ κώμῃ ἐκείνῃ που καταλῦσαι, ἐν σπηλαίῳ τινὶ σύνεγγυς τῆς κώμης κατέλυσε. Καὶ τότε
5 αὐτῶν ὄντων ἐκεῖ ἐτετόκει ἡ Μαρία τὸν Χριστὸν καὶ ἐν φάτνῃ αὐτὸν ἐτεθείκει. ὅπου ἐλθόντες οἱ ἀπὸ Ἀρραβίας μάγοι εὗρον αὐτόν. [dial. 78 p. 363 D; schließt an Nr. 5 an.]

10. (Mt. 2, 13 ff.). Καὶ αὐτὸς ἅμα τῇ Μαρίᾳ κελεύεται ἐξελθεῖν εἰς Αἴγυπτον καὶ εἶναι ἐκεῖ ἅμα τῷ παιδίῳ ἄχρις ἂν αὐτοῖς
10 πάλιν ἀποκαλυφθῇ ἐπανελθεῖν εἰς τὴν Ἰουδαίαν. [dial. 78 p. 303 D; füllt die Lücke in Z. 2.]

11. (Mt. 2, 16 ff.). **a.** Καὶ ὁ Ἡρῴδης μὴ ἐπανελθόντων πρὸς αὐτὸν τῶν ἀπὸ Ἀρραβίας μάγων, ὡς ἠξίωσεν αὐτοὺς ποιῆσαι, ἀλλὰ κατὰ τὰ κελευσθέντα αὐτοῖς δι' ἄλλης ὁδοῦ εἰς τὴν χώραν αὐτῶν
15 ἀπαλλαγέντων καὶ τοῦ Ἰωσὴφ ἅμα τῇ Μαρίᾳ καὶ τῷ παιδίῳ, ὡς καὶ αὐτοῖς ἀποκεκάλυπτο, ἤδη ἐξελθόντων εἰς Αἴγυπτον, οὐ γινώσκων τὸν παῖδα, ὃν ἐληλύθεισαν προσκυνῆσαι οἱ μάγοι, πάντας ἁπλῶς τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ ἐκέλευσεν ἀναιρεθῆναι. καὶ τοῦτο ἐπεπροφήτευτο μέλλειν γίνεσθαι διὰ Ἱερεμίου, εἰπόντος δι' αὐτοῦ τοῦ ἁγίου
20 πνεύματος οὕτως (31, 15)· „Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, κλαυθμὸς καὶ ὀδυρμὸς πολύς· Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσίν". [dial. 78 p. 304 B.] **b.** καὶ κατὰ τὴν θεοῦ κέλευσιν Ἰωσὴφ λαβὼν αὐτὸν ἅμα τῇ Μαρίᾳ ἀπῆλθεν εἰς Αἴγυπτον. [dial. 103 p. 328 E.] **c.** . . . ὡς εἰς Αἴγυπτον τῷ Ἰωσὴφ
25 καὶ τῇ Μαρίᾳ ἐκεκελεύκει ἀπαλλαγῆναι λαβοῦσι τὸ παιδίον καὶ εἶναι ἐκεῖ, ἄχρις ἂν πάλιν αὐτοῖς ἀποκαλυφθῇ ἐπανελθεῖν εἰς τὴν χώραν αὐτῶν· κἀκεῖ ἦσαν ἀπελθόντες, ἄχρις ἂν ἀπέθανεν ὁ ἀποκτείνας τὰ ἐν Βηθλεὲμ παιδία Ἡρῴδης καὶ Ἀρχέλαος αὐτὸν διεδέξατο. καὶ οὗτος ἐτελεύτα πρὶν τὸν Χριστὸν <κατὰ> τὴν οἰκονομίαν [κατὰ τὸ βού-
30 λημα] γεγενημένην ὑπ' αὐτοῦ ἐπὶ τὸ σταυρωθῆναι ἐλθεῖν. [dial. 103 p. 330 E.]

12. . . . Ἡρῴδου τοῦ ὅτε ἐγεγέννητο ἀνελόντος πάντας τοὺς ἐν Βηθλεὲμ ἐκείνου τοῦ καιροῦ γεννηθέντας παῖδας διὰ τὸ ὑπονοεῖν ἐν αὐτοῖς πάντως εἶναι τὸν περὶ οὗ εἰρήκασιν αὐτῷ οἱ ἀπὸ Ἀρραβίας ἐλθόντες
35 μάγοι. [dial. 103 p. 330 D.]

13. (Lc. 2, 40. 3, 23.) Καὶ γὰρ γεννηθεὶς (ὁ Ἰησοῦς) δύναμιν τὴν αὐτοῦ ἔσχε· καὶ αὐξάνων κατὰ τὸ κοινὸν τῶν ἄλλων ἁπάντων ἀνθρώπων, χρώμενος τοῖς ἁρμόζουσιν, ἑκάστῃ αὐξήσει τὸ οἰκεῖον

ἀπένειμε τρεφόμενος τὰς πάσας τροφὰς καὶ τριάκοντα ἔτη ἢ πλείονα ἢ καὶ ἐλάσσονα μείνας, μέχρις οὗ προελήλυθεν Ἰωάννης κήρυξ αὐτοῦ τῆς παρουσίας καὶ τὴν τοῦ βαπτίσματος ὁδὸν προιών. [dial. 88; p. 315 C.]

## B. DAS WIRKEN JESU BIS ZUM EINZUG IN JERUSALEM. 5

### 4. *Wirken und Tod des Johannes.*

*14. (Mt. 3, 1 ff. Mc. 1, 4 ff. Lc. 3, 3). Ἰωάννου γὰρ καθεζομένου ἐπὶ τοῦ Ἰορδάνου καὶ κηρύσσοντος βάπτισμα μετανοίας καὶ ζώνην δερματίνην καὶ ἔνδυμα ἀπὸ τριχῶν καμήλου μόνον φοροῦντος καὶ μηδὲν ἐσθίοντος πλὴν ἀκρίδας καὶ μέλι ἄγριον, οἱ ἄνθρωποι ὑπελάμ- 10 βανον αὐτὸν εἶναι τὸν Χριστόν. πρὸς οὓς καὶ αὐτὸς ἐβόα· Οὐκ εἰμὶ ὁ Χριστός, ἀλλὰ φωνὴ βοῶντος (Joh. 1, 19. 23)· ἥξει γὰρ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι (Mt. 3, 11). [dial. 88; p. 316 B.]

*15. **a.** Οὐχὶ Ἡλίαν, φησὶν ὁ λόγος διὰ Ζαχαρίου, ἐλεύσεσθαι 15 πρὸ τῆς ἡμέρας τῆς μεγάλης καὶ φοβερᾶς ταύτης τοῦ κυρίου; . . . ἐὰν οὖν ὁ λόγος ἀναγκάζῃ ὁμολογεῖν, ὅτι δύο παρουσίαι τοῦ Χριστοῦ προεφητεύοντο γενησόμεναι, μία μὲν ἐν ᾗ παθητὸς καὶ ἄτιμος καὶ ἀειδὴς φανήσεται· ἡ δὲ ἑτέρα ἐν ᾗ καὶ ἔνδοξος καὶ κριτὴς ἁπάντων ἐλεύσεται, . . . οὐχὶ τῆς φοβερᾶς καὶ μεγάλης ἡμέρας, τουτέστι τῆς δευ- 20 τέρας παρουσίας αὐτοῦ, πρόοδον γενήσεσθαι τὸν Ἡλίαν νοήσομεν τὸν λόγον τοῦ θεοῦ κεκηρυχέναι; . . . καὶ ὁ ἡμέτερος οὖν κύριος . . . τοῦτο αὐτὸ ἐν τοῖς διδάγμασιν αὐτοῦ παρέδωκε γενησόμενον (Vgl. Mt. 17, 12. Mc. 9, 12) εἰπὼν καὶ Ἡλίαν ἐλεύσεσθαι. καὶ ἡμεῖς τοῦτο ἐπιστάμεθα γενησόμενον, ὅταν μέλλῃ ἐν δόξῃ ἐξ οὐρανῶν παραγίνεσθαι ὁ 25 ἡμέτερος κύριος Ἰησοῦς Χριστός· οὗ καὶ τῆς πρώτης φανερώσεως κήρυξ προῆλθε τὸ ἐν Ἡλίᾳ γενόμενον πνεῦμα τοῦ θεοῦ, ἐν Ἰωάννῃ τῷ γενομένῳ ἐν τῷ γένει ὑμῶν προφήτῃ, μεθ᾽ ὃν οὐδεὶς ἕτερος λοιπὸν [Cod. λοιπὸς] παρ᾽ ὑμῖν ἐφάνη προφήτης· (Mt. 3, 11 f.) ὅστις ἐπὶ τὸν Ἰορδάνην ποταμὸν καθεζόμενος ἐβόα· Ἐγὼ μὲν ὑμᾶς βαπτίζω 30 ἐν ὕδατι εἰς μετάνοιαν· ἥξει δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. οὗ τὸ πτύον αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ τὸν σῖτον συνάξει εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. [dial. 49, 268 B.] 35

**b.** . . . Ἰωάννης μὲν προελήλυθε βοῶν τοῖς ἀνθρώποις μετανοεῖν καὶ Χριστὸς ἔτι αὐτοῦ καθεζομένου ἐπὶ τοῦ Ἰορδάνου ποταμοῦ

ἐπελθὼν ἔπαυσέ τε αὐτὸν τοῦ προφητεύειν καὶ βαπτίζειν . . . [dial. 51, 270 D.]

*16. (Lc. 16, 16. Mt. 11, 12 14 f.). Εἰρήκει [Cod. εἰρήκειν] δὲ περὶ τοῦ μηκέτι γενήσεσθαι ἐν τῷ γένει ὑμῶν προφήτην καὶ περὶ τοῦ
5 ἐπιγνῶναι ὅτι ἡ πάλαι κηρυσσομένη ὑπὸ τοῦ θεοῦ καινὴ διαθήκη διαταχθήσεσθαι ἤδη τότε παρῆν, τουτέστιν αὐτὸς ὢν ὁ Χριστός, οὕτως· Ὁ νόμος καὶ οἱ προφῆται μέχρι Ἰωάννου τοῦ βαπτιστοῦ (Lc. 16, 16)· ἐξ ὅτου ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται καὶ βιασταὶ ἁρπάζουσιν αὐτὴν καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἡλίας ὁ
10 μέλλων ἔρχεσθαι. ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. (Mt. 11, 12. 14 f.) [dial. 51, 271 B.]

*17. Καὶ τοῦτον αὐτὸν τὸν προφήτην συνεκεκλείκει ὁ βασιλεὺς ὑμῶν Ἡρώδης εἰς φυλακὴν (Lc. 3, 20) καὶ γενεσίων ἡμέρας τελουμένης τῆς ὀρχουμένης ἐξαδελφῆς αὐτοῦ [+ τοῦ Ἡρώδου Cod.] εὐαρέστως αὐτῷ,
15 εἶπεν αὐτῇ αἰτήσασθαι ὃ ἐὰν βούληται. καὶ ἡ μήτηρ τῆς παιδὸς ὑπέβαλεν αὐτῇ αἰτήσασθαι τὴν κεφαλὴν Ἰωάννου τοῦ ἐν τῇ φυλακῇ· καὶ αἰτησάσης ἔπεμψε καὶ ἐπὶ πίνακι ἐνεχθῆναι τὴν κεφαλὴν Ἰωάννου ἐκέλευσε (Mt. 14, 6 ff.; vgl. Mc. 6, 21 ff.). διὸ καὶ ὁ ἡμέτερος Χριστὸς εἰρήκει ἐπὶ γῆς τότε τοῖς λέγουσι πρὸ τοῦ Χριστοῦ Ἡλίαν
20 δεῖν ἐλθεῖν· Ἡλίας μὲν ἐλεύσεται καὶ ἀποκαταστήσει πάντα· λέγω δὲ ὑμῖν ὅτι Ἡλίας ἤδη ἦλθε καὶ οὐκ ἐπέγνωσαν αὐτὸν ἀλλ' ἐποίησαν αὐτῷ, ὅσα ἠθέλησαν. καὶ γέγραπται ὅτι Τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς. (Mt. 17, 11—13; vgl. Mc. 9, 12 f.) [dial. 49, 268 E.]

25
## 5. *Taufe Jesu.*

**18. (Mt. 3, 13 ff. Mc. 1, 9 ff. Lc. 3, 21 f.) Καὶ τότε ἐλθόντος τοῦ Ἰησοῦ ἐπὶ τὸν Ἰορδάνην ποταμόν, ἔνθα ὁ Ἰωάννης ἐβάπτιζε· <καὶ> κατελθόντος τοῦ Ἰησοῦ ἐπὶ τὸ ὕδωρ καὶ πῦρ ἀνήφθη ἐν τῷ Ἰορδάνῃ καὶ ἀναδύντος αὐτοῦ ἀπὸ τοῦ ὕδατος ὡς περιστερὰν τὸ
30 ἅγιον πνεῦμα ἐπιπτῆναι ἐπ' αὐτὸν ἔγραψαν οἱ ἀπόστολοι αὐτοῦ τούτου τοῦ Χριστοῦ ἡμῶν. [dial. 88, 315 C.]

*19. Καὶ ἐλθόντος τοῦ Ἰησοῦ ἐπὶ τὸν Ἰορδάνην καὶ νομιζομένου Ἰωσὴφ τοῦ τέκτονος υἱοῦ ὑπάρχειν (Mt. 13, 55; vgl. Lc. 4, 23) καὶ ἀειδοῦς, ὡς αἱ γραφαὶ ἐκήρυσσον, φαινομένου καὶ τέκτονος νομιζομέ-
35 νου (Mc. 6, 3) — ταῦτα γὰρ τὰ τεκτονικὰ ἔργα εἰργάζετο ἐν ἀνθρώποις ὢν ἄροτρα καὶ ζυγά· διὰ τούτων καὶ τὰ τῆς δικαιοσύνης σύμβολα διδάσκων καὶ ἐνεργῆ [ἀεργῆ Cod.] βίον — τὸ πνεῦμα οὖν τὸ

ἅγιον καὶ διὰ τοὺς ἀνθρώπους, ὡς προέφην, ἐν εἴδει περιστερᾶς ἐπέπτη αὐτῷ καὶ φωνὴ ἐκ τῶν οὐρανῶν ἅμα ἐληλύθει, ἥτις καὶ διὰ Δαυὶδ λεγομένη ὡς ἀπὸ προσώπου αὐτοῦ λέγοντος, ὅπερ αὐτῷ ἀπὸ τοῦ πατρὸς ἔμελλε λέγεσθαι (Ps. 2, 7)· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· τότε γέννησιν [γένεσιν Cod.] αὐτοῦ λέγων γίνεσθαι τοῖς ἀνθρώποις, 5 ἐξ ὅτου ἡ γνῶσις αὐτοῦ ἔμελλε γίνεσθαι [Cod. + υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε]. (Mt. 3, 13ff.) [dial. 88, 316 C. Usener, Religionsgesch. Unters. I, 40ff.]

## 6. *Die Versuchung.*

*20. Καὶ γὰρ οὗτος ὁ διάβολος ἅμα τῷ ἀναβῆναι αὐτὸν ἀπὸ τοῦ 10 ποταμοῦ τοῦ Ἰορδάνου, τῆς φωνῆς αὐτῷ λεχθείσης· υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε (Mt. 3, 17. Mc. 1, 11. Lc. 3, 22), ἐν τοῖς ἀπομνημονεύμασιν τῶν ἀποστόλων γέγραπται προσελθὼν αὐτῷ πειράζων (Mt. 4, 3) μέχρι τοῦ εἰπεῖν αὐτῷ· Προσκύνησόν μοι· καὶ ἀποκρίνασθαι τὸν Χριστόν· Ὕπαγε ὀπίσω μου 15 σατανᾶ. κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις (Mt. 4, 9f.). [dial. 103, 331 B.]

*21. Ὅτε γὰρ ἄνθρωπος γέγονεν, ὡς προεῖπον, προσῆλθεν αὐτῷ ὁ διάβολος, τουτέστιν ἡ δύναμις ἐκείνη ἡ καὶ ὄφις κεκλημένη καὶ σατανᾶς, πειράζων αὐτὸν (Mt. 4, 3. Lc. 4, 2) καὶ ἀγωνιζόμενος καταβαλεῖν διὰ 20 τοῦ ἀξιοῦν προσκυνῆσαι αὐτόν. ὁ δὲ αὐτὸν κατέλυσε καὶ κατέβαλεν, ἐλέγξας ὅτι πονηρός ἐστι, παρὰ τὴν γραφὴν ἀξιῶν προσκυνεῖσθαι ὡς θεός (Mt. 4, 9. Lc. 4, 7), ἀποστάτης τῆς τοῦ θεοῦ γνώμης γεγενημένος. ἀποκρίνεται γὰρ αὐτῷ (Mt. 4, 10)· Γέγραπται· κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις· καὶ ἡττημένος καὶ 25 ἐληλεγμένος ἀπένευσε τότε ὁ διάβολος (Mt. 4, 11. Lc. 4, 13). [dial. 125, 354 D.]

## 7. *Die Lehre Jesu.*

### a. Allgemeines.

*22. . . . καὶ εὐηγγελίζετο καὶ αὐτὸς λέγων ὅτι Ἐγγύς ἐστιν ἡ 30 βασιλεία τῶν οὐρανῶν (vgl. Mt. 4, 17. Mc. 1, 15). [dial. 51, 271 A.]

*23. Ὅθεν μοι δοκεῖ καλῶς εἰρῆσθαι ὑπὸ τοῦ ἡμετέρου κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, ἐν δυσὶν ἐντολαῖς πᾶσαν δικαιοσύνην καὶ εὐσέβειαν πληροῦσθαι· εἰσὶ δὲ αὗται· Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου καὶ τὸν 35

πλησίον σου ὡς σεαυτόν (Lc. 10, 27; vgl. Mt. 22, 37. 39. Mc. 12, 30f.). [dial. 93, 321 A.)

*24. Μεγίστη ἐντολή ἐστι· Κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις (Mt. 4, 10) ἐξ ὅλης τῆς καρδίας σου
5 καὶ ἐξ ὅλης τῆς ἰσχύος σου κύριον τὸν θεὸν τὸν ποιήσαντά σε. Καὶ προσελθόντος αὐτῷ τινος καὶ εἰπόντος· Διδάσκαλε ἀγαθέ, ἀπεκρίνατο λέγων· Οὐδεὶς ἀγαθὸς εἰ μὴ μόνος ὁ θεὸς ὁ ποιήσας τὰ πάντα (Lc. 18, 18f.; vgl. Mt. 19, 16f. Mc. 10, 17f.) [Apol. 1, 16, 63 D.]

10 b. Aus der Bergpredigt.

**25. . . . ταῦτα εἰρηκέναι ἐν τοῖς ἀπομνημονεύμασι γέγραπται· Ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν (Mt. 5, 20). [dial. 105, 333 B.]

15 *26. Περὶ μὲν οὖν σωφροσύνης τοσοῦτον εἶπεν· Ὃς ἂν ἐμβλέψῃ γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσε τῇ καρδίᾳ παρὰ τῷ θεῷ. (Mt. 5, 28) καὶ Εἰ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔκκοψον αὐτόν· συμφέρει γάρ σοι μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἢ μετὰ τῶν δύο πεμφθῆναι εἰς τὸ
20 αἰώνιον πῦρ (Mt. 18, 9; vgl. 5, 29. Mc. 9, 47). καὶ Ὃς γαμεῖ ἀπολελυμένην ἀφ' ἑτέρου ἀνδρὸς μοιχᾶται (Mt. 5, 32. Lc. 16, 18). καὶ Εἰσί τινες οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, εἰσὶ δὲ οἳ ἐγεννήθησαν εὐνοῦχοι, εἰσὶ δὲ οἳ εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· πλὴν οὐ πάντες τοῦτο χωροῦσιν (Mt.
25 19, 12). — [Apol. 1, 15, 61 E.]

*27. . . . ταῦτα ἔφη· παντὶ τῷ αἰτοῦντι δίδοτε καὶ τὸν βουλόμενον δανείσασθαι μὴ ἀποστραφῆτε (vgl. Mt. 5, 42. Lc. 6, 30). εἰ γὰρ δανείζετε παρ' ὧν ἐλπίζετε λαβεῖν, τί καινὸν ποιεῖτε; τοῦτο καὶ οἱ τελῶναι ποιοῦσιν (Lc. 6, 34; vgl. Mt. 5, 46). ὑμεῖς
30 δὲ μὴ θησαυρίζητε ἑαυτοῖς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει καὶ λῃσταὶ διορύσσουσι· θησαυρίζετε δὲ ἑαυτοῖς ἐν τοῖς οὐρανοῖς, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει (Mt. 16, 19f.). τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἂν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ἀπολέσῃ; ἢ τί δώσει αὐτῆς ἀντάλλαγμα (Mt. 6, 26;
35 vgl. Lc. 9, 25). θησαυρίζετε οὖν ἐν τοῖς οὐρανοῖς, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει (Mt. 6, 20). [Apol. I, 15, 62 D.]

*28. a. Καὶ γίνεσθε δὲ χρηστοὶ καὶ οἰκτίρμονες, ὡς καὶ ὁ πατὴρ ὑμῶν χρηστός ἐστι καὶ οἰκτίρμων (vgl. Lc. 6, 35f.), καὶ τὸν

ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ ἁμαρτωλοὺς καὶ δικαίους καὶ πονηρούς (Mt. 5, 45). [Apol. I, 15, 62 D.]

b. Οὗτος (Christus) γὰρ ἐδίδαξεν ἡμᾶς καὶ ὑπὲρ τῶν ἐχθρῶν εὔχεσθαι εἰπών· γίνεσθε χρηστοὶ [Cod. χριστοί] καὶ οἰκτίρμονες ὡς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος (Lc. 6, 36). καὶ γὰρ τὸν παντο- 5 κράτορα θεὸν χρηστὸν καὶ οἰκτίρμονα ὁρῶμεν τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντα ἐπὶ ἀχαρίστους καὶ δικαίους καὶ βρέχοντα ἐπὶ ὁσίους καὶ πονηρούς (Mt. 5, 45. Lc. 6, 35), οὓς πάντας ὅτι καὶ κρίνειν μέλλει ἐδίδαξεν. [dial. 96, 324 A.]

*29. Μὴ μεριμνᾶτε δέ, τί φάγητε ἢ τί ἐνδύσησθε. οὐχ ὑμεῖς 10 τῶν πετεινῶν καὶ τῶν θηρίων διαφέρετε; καὶ ὁ θεὸς τρέφει αὐτά. μὴ οὖν μεριμνήσητε, τί φάγητε ἢ τί ἐνδύσησθε (vgl. Mt. 6, 25 ff. Lc. 12, 22 ff.). οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι τούτων χρείαν ἔχετε. ζητεῖτε δὲ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν (Mt. 6, 32 f. Lc. 12. 30 f.). ὅπου γὰρ ὁ 15 θησαυρός ἐστιν, ἐκεῖ καὶ ὁ νοῦς τοῦ ἀνθρώπου (Mt. 6, 21. Lc. 12, 34). καὶ μὴ ποιῆτε ταῦτα πρὸς τὸ θεαθῆναι ὑπὸ τῶν ἀνθρώπων, εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς (Mt. 6, 1). [Apol. 1, 15, 63 A, setzt Nr. 28[a] fort.]

*30. a. Περὶ δὲ τοῦ στέργειν ἅπαντας ταῦτα ἐδίδαξεν· Εἰ ἀγα- 20 πᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, τί καινὸν ποιεῖτε; καὶ γὰρ οἱ πόρνοι τοῦτο ποιοῦσιν (Lc. 6, 32. Mt. 5, 46). ἐγὼ δὲ ὑμῖν λέγω· εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν καὶ ἀγαπᾶτε τοὺς μισοῦντας ὑμᾶς καὶ εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν καὶ εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς (Mt. 5, 44. Lc. 6, 27 f.) [Apol. 1, 15, 62 C setzt Nr. 38 25 fort]. b. ... πάντων ἡμῶν εὐχομένων ὑπὲρ ὑμῶν καὶ ὑπὲρ πάντων ἁπλῶς ἀνθρώπων, ὡς ὑπὸ τοῦ Χριστοῦ ἡμῶν καὶ κυρίου ποιεῖν ἐδιδάχθημεν παραγγείλαντος ἡμῖν εὔχεσθαι καὶ ὑπὲρ τῶν ἐχθρῶν καὶ ἀγαπᾶν τοὺς μισοῦντας καὶ εὐλογεῖν τοὺς καταρωμένους (Mt. 5, 44). [dial. 133, 363 D.] 30

31. ... ἃ ἔφη ταῦτά ἐστι· Τῷ τύπτοντί σου τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ τὸν αἴροντά σου τὸν χιτῶνα καὶ [ἢ Cod.] τὸ ἱμάτιον μὴ κωλύσῃς (Lc. 6, 29. Mt. 5, 39). ὃς δ' ἂν ὀργισθῇ, ἔνοχός ἐστιν εἰς τὸ πῦρ (Mt. 5, 22). παντὶ δὲ ἀγγαρεύοντί σε [Cod. σοι] μίλιον <ἓν> ἀκολούθησον δύο (Mt. 5, 41). λαμψάτω δὲ 35 ὑμῶν τὰ καλὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα βλέποντες θαυμάζωσι τὸν [om. Cod.] πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς (Mt. 5, 16). [Apol. 1, 16. 63 B.]

*32. a. Περὶ δὲ τοῦ μὴ ὀμνύναι ὅλως, τἀληθῆ δὲ λέγειν ἀεὶ οὕτως παρεκελεύσατο· Μὴ ὀμόσητε ὅλως (Mt. 5, 34). ἔστω δὲ ὑμῶν τὸ ναὶ ναὶ καὶ τὸ οὔ οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ (Mt. 5, 37. Jac. 5, 12). ... Εἶπε γὰρ οὕτως· Οὐχὶ πᾶς ὁ λέγων
5 μοι Κύριε κύριε εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς (Mt. 7, 21). ὃς γὰρ ἀκούει μου καὶ ποιεῖ ἃ λέγω, ἀκούει τοῦ ἀποστείλαντός με (Mt. 7, 24; vgl. Lc. 10, 16). [Apol. 1, 16, 63 D. 64 A].
b. ... ὁ κύριος ἡμῶν εἶπεν· ὁ ἐμοῦ ἀκούων, ἀκούει τοῦ ἀποστείλαν-
10 τός με. [Apol. 1, 63, 95 D.]

*33. a. Πολλοὶ δὲ ἐροῦσί μοι· Κύριε, κύριε, οὐ τῷ σῷ ὀνόματι ἐφάγομεν καὶ ἐπίομεν καὶ δυνάμεις ἐποιήσαμεν; καὶ τότε ἐρῶ αὐτοῖς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀνομίας (Mt. 7, 22 f.; vgl. Lc. 13, 26 f.) [Apol. 1, 16, 64 A; folgt Nr. 34 a.]
15 b. Πολλοὶ ἐροῦσί μοι τῇ ἡμέρᾳ ἐκείνῃ· Κύριε, κύριε, οὐ τῷ σῷ ὀνόματι ἐφάγομεν καὶ ἐπίομεν καὶ προεφητεύσαμεν καὶ δαιμόνια ἐξεβάλομεν; καὶ ἐρῶ αὐτοῖς· ἀναχωρεῖτε ἀπ' ἐμοῦ (Mt. 7, 22 f.) [dial. 76, 301 E.]

*34. a. Τότε κλαυθμὸς ἔσται καὶ βρυγμὸς τῶν ὀδόντων, ὅταν
20 οἱ μὲν δίκαιοι λάμψωσιν ὡς ὁ ἥλιος (Mt. 13, 42 f.), οἱ δὲ ἄδικοι πέμπωνται εἰς τὸ αἰώνιον πῦρ. πολλοὶ γὰρ ἥξουσιν ἐπὶ τῷ ὀνόματί μου, ἔξωθεν μὲν ἐνδεδυμένοι δέρματα προβάτων, ἔσωθεν δὲ ὄντες λύκοι ἅρπαγες· ἐκ τῶν ἔργων αὐτῶν ἐπιγνώσεσθε αὐτούς (Mt. 7, 15 f. 20). [Apol. 1, 16, 64 B; setzt Nr. 33 a fort; es folgt Nr. 35.]
25 b. Εἶπε γάρ· Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου (Mt, 24, 5), ἔξωθεν ἐνδεδυμένοι δέρματα προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες (Mt. 7, 15). [dial. 35, 253 B.]

*35. Πᾶν δὲ δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται (Mt. 7, 19). [Apol. 1, 16, 64 B; s. 34 a].
30 *36. Εἶπε γάρ· πολλοὶ ἐλεύσονται κτλ. (s. Z. 25 f.) καί· ἔσονται σχίσματα καὶ αἱρέσεις (1 Cor., 11, 18 f.; vgl. Herrenlose Herrnworte Nr. 25). καὶ Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἐλεύσονται πρὸς ὑμᾶς, ἔξωθεν ἐνδεδυμένοι δέρματα προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες (Mt. 7, 15). καί· Ἀναστήσονται πολλοὶ ψευδόχριστοι
35 καὶ ψευδοαπόστολοι καὶ πολλοὺς τῶν πιστῶν πλανήσουσιν (Mt. 24, 11; vgl. V. 5. 24). [dial. 35, 253 B].

*37. Ἥξουσιν γὰρ ἀπὸ δυσμῶν καὶ ἀνατολῶν [ἀ. καὶ δυσμῶν 76] (Lc. 13, 29) καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ

Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον (Mt. 8, 11 f.). [dial. 76, p. 301 D. 120, p. 349 B. 140, p. 370 A.]

b. Ὅνπερ δὲ τρόπον καὶ ψευδοπροφῆται ἐπὶ τῶν παρ' ὑμῖν γενομένων ἁγίων προφητῶν ἦσαν, καὶ παρ' ἡμῖν νῦν πολλοί εἰσι καὶ 5 ψευδοδιδάσκαλοι, οὓς φυλάσσεσθαι προεῖπεν ἡμῖν ὁ ἡμέτερος κύριος, ὡς ἐν μηδενὶ ὑστερεῖσθαι ἡμᾶς, ἐπισταμένους, ὅτι προγνώστης ἦν τῶν μετὰ τὴν ἀνάστασιν αὐτοῦ τὴν ἀπὸ τῶν νεκρῶν καὶ ἄνοδον τὴν εἰς οὐρανὸν μελλόντων γίνεσθαι ἡμῖν. εἶπε γὰρ (Mt. 10, 22) ὅτι φονεύεσθαι καὶ μισεῖσθαι διὰ τὸ ὄνομα αὐτοῦ μέλλομεν, καὶ (Mt. 24, 24) 10 ὅτι ψευδοπροφῆται καὶ ψευδόχριστοι πολλοὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ παρελεύσονται καὶ πολλοὺς πλανήσουσιν· ὅπερ καὶ ἔστι. [dial. 82, 308 C.]

*38. Εἶπε δὲ οὕτως· Οὐκ ἦλθον καλέσαι δικαίους ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν. θέλει γὰρ ὁ πατὴρ ὁ οὐράνιος τὴν μετάνοιαν τοῦ ἁμαρτωλοῦ ἢ τὴν κόλασιν αὐτοῦ (Lc. 5, 32; vgl. Mt. 9, 13). 15 [Apol. 1, 15, 62 C.]

*39. Πτωχοὶ εὐαγγελίζονται, τυφλοὶ βλέπουσι καὶ οὐ συνίετε (Vgl. Mt. 11, 5. Lc. 7, 22). [dial. 12, 229 C.]

**40. ... καὶ ἐν τῷ εὐαγγελίῳ δὲ γέγραπται εἰπών (Mt. 11, 27. Lc. 10, 22)· Πάντα μοι παραδέδοται ὑπὸ τοῦ πατρός, καὶ οὐδεὶς 20 γινώσκει [ἔγνω Apol. I, 63] τὸν πατέρα εἰ μὴ ὁ υἱός, οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ καὶ οἷς ἂν ὁ υἱὸς ἀποκαλύψῃ [ἀ. ὁ υἱός Ap.] [dial. 100, 326 D; vgl. Apol. I, 63, 95 D.]

## 8. *Rede an die Jünger.*

*41. . . . καὶ τὸν ἡμέτερον διδάσκαλον Ἰησοῦν Χριστὸν ἔγνωμεν 25 εἰπόντα· Τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατὰ παρὰ θεῷ (Lc. 18, 27). καὶ Μὴ φοβεῖσθε τοὺς ἀναιροῦντας ὑμᾶς καὶ μετὰ ταῦτα μὴ δυναμένους τι ποιῆσαι, [εἶπε] φοβήθητε δὲ τὸν μετὰ τὸ ἀποθανεῖν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα εἰς γέενναν ἐμβαλεῖν (Mt. 10, 28. Lc. 12, 4 f.) [Apol. I, 19, 66 B.] 30

*42. . . . ὁ Χριστὸς ἐμήνυσεν εἰπών· Ὧι πλέον ἔδωκεν ὁ θεός, πλέον καὶ ἀπαιτηθήσεται παρ' αὐτοῦ (vgl. Lc. 12, 48). [Apol. 1, 17, 64 E.]

*43. Καὶ πάλιν ἐν ἑτέροις λόγοις ἔφη· Δίδωμι ὑμῖν ἐξουσίαν καταπατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ σκολοπενδρῶν καὶ ἐπάνω 35 πάσης δυνάμεως τοῦ ἐχθροῦ (Lc. 10, 19). [dial. 76, 301 E.]

### 9. *Gleichnisrede.*

*44. . . . ὡς ὁ ἐμὸς κύριος εἶπεν· Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον (Lc. 8, 5)· καὶ ὁ μὲν ἔπεσεν εἰς τὴν ὁδόν, ὁ δέ εἰς τὰς ἀκάνθας, ὁ δὲ ἐπὶ τὰ πετρώδη, ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλήν (Mt.
5 13, 4. 7. 5. 8; vgl. Mc. 4, 4ff. Lc. 8, 6ff.). ἐλπίδι οὖν τοῦ εἶναί που καλὴν γῆν λέγειν δεῖ· ἐπειδή γε ἐκεῖνος ὁ ἐμὸς κύριος, ὡς ἰσχυρὸς καὶ δυνατός, τὰ ἴδια παρὰ πάντων ἀπαιτήσει ἐλθὼν καὶ τὸν οἰκονόμον τὸν ἑαυτοῦ οὐ καταδικάσει, εἰ γνωρίζοι αὐτὸν <πιστὸν> διὰ τὸ ἐπίστασθαι, ὅτι δυνατός ἐστιν ὁ κύριος αὐτοῦ καὶ ἐλθὼν ἀπαιτήσει τὰ ἴδια (vgl.
10 Lc. 19, 12ff. Mt. 25, 18ff.) ἐπὶ πᾶσαν τράπεζαν διδόντα, ἀλλ' οὐ δι' αἰτίαν οἱανδηποτοῦν κατορύξαντα. [dial. 125, 354 B.]

### 10. *Letzte Reden.*

*45. Καὶ τοῖς γραμματεῦσιν (λέγει)· Οὐαὶ ὑμῖν, γραμματεῖς, ὅτι τὰς κλεῖς ἔχετε, καὶ αὐτοὶ οὐκ εἰσέρχεσθε καὶ τοὺς εἰσερχομένους
15 κωλύετε (Mt. 23, 13. Lc. 11, 52)· ὁδηγοὶ τυφλοί (Mt. 23, 16). [dial. 17, 235 D.]

*46. **a.** . . . καὶ ἐβόα· Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον, τὴν δὲ ἀγάπην τοῦ θεοῦ καὶ τὴν κρίσιν οὐ κατανοεῖτε (Mt. 23, 23 + Lc.
20 11, 42)· τάφοι κεκονιαμένοι, ἔξωθεν φαινόμενοι ὡραῖοι, ἔσωθεν δὲ γέμοντες ὀστέων νεκρῶν (Mt. 23, 27). [dial. 17, 235 C]. **b.** . . . πρὸς αὐτοὺς ἔφη ὁ ἡμέτερος κύριος Ἰησοῦς Χριστός· Τάφοι κεκονιαμένοι ἔξωθεν φαινόμενοι ὡραῖοι καὶ ἔσωθεν γέμοντες ὀστέων νεκρῶν (Mt. 23, 27), τὸ ἡδύοσμον ἀποδεκατοῦντες (V. 23), τὴν δὲ κάμηλον
25 καταπίνοντες (V. 24)· τυφλοὶ ὁδηγοί (V. 26); ἐὰν οὖν μὴ τῶν διδαγμάτων τῶν ἑαυτοὺς ὑψούντων καὶ θελόντων ῥαββὶ ῥαββὶ καλεῖσθαι (V. 6f.) καταφρονήσητε, . . . οὐ δύνασθε ὅλως οὐδὲν ἀπὸ τῶν προφητικῶν ὠφέλιμον λαβεῖν. [dial. 112, 339 E.]

*47. Διὸ καὶ ὁ ἡμέτερος κύριος Ἰησοῦς Χριστὸς εἶπεν· Ἐν οἷς
30 ἂν ὑμᾶς καταλάβω, ἐν τούτοις καὶ κρινῶ. [dial. 47, 267 A. vgl. Ez. 7, 3. 8. 18, 30. 24, 14. 33, 20. Clemens Alex., Quis div. salv. 40.]

*48. **a.** Ὅπερ καὶ ὁ κύριος ἡμῶν εἶπεν, ὅτι Οὔτε γαμήσουσιν οὔτε γαμηθήσονται, ἀλλὰ ἰσάγγελοι ἔσονται, τέκνα τοῦ θεοῦ τῆς ἀναστάσεως ὄντες (Lc. 20, 35f.; vgl. Mt. 22, 30. Mc. 12, 25).
35 [dial. 81, 308 B.]

**b.** . . . ὥς φησιν· οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι καὶ γαμίσκονται [ἐκγαμίσκονται R], οἱ δὲ υἱοὶ τοῦ μέλλοντος αἰῶνος οὔτε

γαμοῦσιν οὔτε γαμίσκονται, ἀλλ᾽ ἔσονται ὡς ἄγγελοι ἐν τῷ οὐρανῷ (vgl. Mc. 12, 25. Mt. 22, 30). [Justin?, de resurr. 3.]

**49. . . . γέγραπται ἐν τοῖς ἀπομνημονεύμασιν ὅτι οἱ ἀπὸ τοῦ γένους ὑμῶν συζητοῦντες αὐτῷ ἔλεγον ὅτι Δεῖξον ἡμῖν σημεῖον. καὶ ἀπεκρίνατο αὐτοῖς· Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτοῖς εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ (Mt. 16, 1. 4). [dial. 107, 334 B.]

*50. Νῦν δὲ διπλότερον υἱοὶ γεέννης, ὡς αὐτὸς εἶπε, γίνεσθε (Mt. 23, 15). [dial. 122, 350 D.]

*51. . . . βοῶν παρ᾽ ὑμῖν· Γέγραπται· Ὁ οἶκός μου οἶκος προσευχῆς ἐστιν, ὑμεῖς δὲ πεποιήκατε αὐτὸν σπήλαιον λῃστῶν (Lc. 19, 46; vgl. Mt. 21, 13. Mc. 11, 17). καὶ τὰς τραπέζας τῶν ἐν τῷ ναῷ κολλυβιστῶν κατέστρεψε (Mt. 21, 12. Mc. 11, 15). [dial. 17, 235 C, folgt Nr. 46a.]

*52. Κατ᾽ ἐκεῖνο γὰρ τοῦ καιροῦ προσελθόντες τινὲς ἠρώτων αὐτόν, εἰ δεῖ καίσαρι φόρους τελεῖν (Lc. 20, 22). καὶ ἀπεκρίνατο· Εἴπατέ μοι, τίνος εἰκόνα τὸ νόμισμα ἔχει; οἱ δὲ ἔφασαν· Καίσαρος. καὶ πάλιν ἀνταπεκρίνατο αὐτοῖς· Ἀπόδοτε οὖν τὰ καίσαρος τῷ καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ (Mt. 22, 19f. Lc. 20, 24f.). [Apol. I, 17, 64 C.]

*53. . . . Καὶ ἐν ἄλλοις λόγοις οἷς καταδικάζειν τοὺς ἀναξίους μὴ σώζεσθαι μέλλει[ν] ἔφη ἐρεῖν· Ὑπάγετε εἰς τὸ σκότος τὸ ἐξώτερον, ὃ ἡτοίμασεν ὁ πατὴρ τῷ σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. (Vgl. Mt. 8, 12. + 25, 41.) [dial. 76, 301 E.]

## 11. *Auswahl der Jünger.*

**54. Καὶ γὰρ υἱὸν θεοῦ Χριστὸν κατὰ τὴν τοῦ πατρὸς αὐτοῦ ἀποκάλυψιν ἐπιγνόντα αὐτὸν ἕνα τῶν μαθητῶν αὐτοῦ, Σίμωνα πρότερον καλούμενον, ἐπωνόμασε Πέτρον (Mt. 16, 16. 18). καὶ υἱὸν θεοῦ γεγραμμένον αὐτὸν ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων αὐτοῦ ἔχοντες καὶ υἱὸν <θεοῦ> αὐτὸν λέγοντες (νενοήκαμεν . . .). [dial. 100, 327 B.]

**55. (Mc. 3, 16f.). Καὶ τὸ εἰπεῖν μετωνομακέναι αὐτὸν Πέτρον ἕνα τῶν ἀποστόλων, καὶ γεγράφθαι ἐν τοῖς ἀπομνημονεύμασιν αὐτοῦ γεγενημένον καὶ τοῦτο, μετὰ τοῦ καὶ ἄλλους δύο ἀδελφούς, υἱοὺς Ζεβεδαίου ὄντας, μετωνομακέναι ὀνόματι τοῦ Βοανεργές, ὅ ἐστιν υἱοὶ βροντῆς . . . [dial. 106, 333 E].

56. (Joh. 1, 1?). Ὁ δὲ υἱὸς ἐκείνου, ὁ μόνος λεγόμενος κυρίως υἱός, ὁ λόγος πρὸ τῶν ποιημάτων καὶ συνὼν καὶ γεννώμενος, ὅτε τὴν ἀρχὴν δι' αὐτοῦ πάντα ἔκτισε καὶ ἐκόσμησε, Χριστὸς μὲν κατὰ τὸ κεχρῖσθαι καὶ κοσμῆσαι τὰ πάντα δι' αὐτοῦ τὸν θεὸν λέγεται . . .
5 [Apol. II, 6, 44 D.]

*57. (Joh. 3, 3ff.). Καὶ γὰρ ὁ Χριστὸς εἶπεν· Ἂν μὴ ἀναγεννηθῆτε, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὅτι δὲ καὶ ἀδύνατον εἰς τὰς μήτρας τῶν τεκουσῶν τοὺς ἅπαξ γενομένους [Cod. i. mg. γεννηθέντας; edd. γεννωμένους] ἐμβῆναι φανερὸν πᾶσίν ἐστιν.
10 [Apol. I, 61, 94 A.]

58. (Mt. 25, 34). . . . ἐνδύσαι ἡμᾶς τὰ ἡτοιμασμένα ἐνδύματα, ἐὰν πράξωμεν αὐτοῦ τὰς ἐντολάς, ὑπέσχετο [Jesus] καὶ αἰώνιον βασιλείαν προνοῆσαι ἐπήγγελται. [dial. 116, 344 B.]

59. Πηγὴ ὕδατος ζῶντος παρὰ θεοῦ ἐν τῇ ἐρήμῳ γνώσεως θεοῦ
15 γῇ [Cod. τῇ] τῶν ἐθνῶν [γῇ] ἀνέβλυσεν οὗτος ὁ Χριστός, ὃς καὶ ἐν τῷ γένει ὑμῶν πέφανται, καὶ τοὺς ἐκ γενετῆς καὶ κατὰ σάρκα πηροὺς καὶ κωφοὺς καὶ χωλοὺς ἰάσατο (vgl. Mt. 11, 5), τὸν μὲν ἅλλεσθαι, τὸν δὲ καὶ ἀκούειν, τὸν δὲ καὶ ὁρᾶν τῷ λόγῳ αὐτοῦ ποιήσας· καὶ νεκροὺς δὲ ἀναστήσας καὶ ζῆν ποιήσας καὶ διὰ τῶν ἔργων ἐδυσώπει
20 τοὺς τότε ὄντας ἀνθρώπους ἐπιγνῶναι αὐτόν. οἱ δὲ καὶ ταῦτα ὁρῶντες γινόμενα φαντασίαν μαγικὴν γίνεσθαι ἔλεγον· καὶ γὰρ μάγον εἶναι αὐτὸν ἐτόλμων λέγειν (vgl. Mt. 9, 34) καὶ λαοπλάνον. αὐτὸς δὲ καὶ ταῦτα ἐποίει πείθων καὶ τοὺς ἐπ' αὐτὸν πιστεύειν μέλλοντας, ὅτι, κἂν τις ἐν λώβῃ τινὶ σώματος ὑπάρχων φύλαξ τῶν παραδεδομένων ὑπ'
25 αὐτοῦ διδαγμάτων ὑπάρξῃ, ὁλόκληρον αὐτὸν ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ μετὰ τοῦ καὶ ἀθάνατον καὶ ἄφθαρτον καὶ ἀλύπητον ποιῆσαι ἀναστήσει. [dial. 69, 295 E.]

## 12. *Leidensverkündigung.*

*60. Ἐβόα γὰρ πρὸ τοῦ σταυρωθῆναι· Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώ-
30 που πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ὑπὸ [ἀπὸ c. 51] τῶν γραμματέων καὶ Φαρισαίων [Φαρισαίων κ. γραμματέων c. 100] καὶ σταυρωθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι (Lc. 9, 22. Mc. 8, 31; vgl. Mt. 16, 21. Lc. 24, 6). [dial. 76, 302 B. 100, 327 A; vgl. 51.]

61. (Mt. 21, 1ff. Mc. 11, 1ff. Lc. 19, 29ff.). a. Καὶ ὄνον δέ
35 τινα ἀληθῶς σὺν πώλῳ αὐτῆς προσδεδεμένην ἔν τινι εἰσόδῳ κώμης Βηθσφαγῆς λεγομένης, ὅτε ἔμελλεν εἰσέρχεσθαι εἰς τὰ Ἱεροσόλυμα ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐκέλευσε τοὺς μαθητὰς αὐτοῦ ἀγαγεῖν

αὐτῷ, καὶ ἐπικαθίσας ἐπεισελήλυθεν εἰς τὰ Ἱεροσόλυμα· ὅπερ ὡς [ὃ πῶς Cod.] ἐπεπροφήτευτο διαρρήδην γενήσεσθαι ὑπὸ τοῦ Χριστοῦ, γενόμενον ὑπ' αὐτοῦ καὶ γνωσθὲν τὸν Χριστὸν ὄντα αὐτὸν φανερὸν ἐποίει. καὶ τούτων ἁπάντων γενομένων καὶ ἀπὸ τῶν γραφῶν ἀποδεικνυμένων ὑμεῖς ἔτι σκληροκάρδιοί ἐστε. προεφητεύθη δὲ ὑπὸ Ζαχαρίου (9, 9), ἑνὸς τῶν δώδεκα τοῦτο μέλλειν γίνεσθαι οὕτως· „Χαῖρε σφόδρα θύγατερ Σιών, ἀλάλαξον, κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἥξει σοι δίκαιος καὶ σώζων αὐτὸς καὶ πραῢς καὶ πτωχὸς ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον ὄνου". [dial. 53, 272 E, vgl. Apol. I, 32. 36]. b. Πῶλος γάρ τις ὄνου εἱστήκει ἔν τινι εἰσόδῳ κώμης πρὸς ἄμπελον δεδεμένος, ὃν ἐκέλευσεν ἀγαγεῖν αὐτῷ τότε τοὺς γνωρίμους αὐτοῦ καὶ ἀχθέντος ἐπιβὰς ἐκάθισε καὶ εἰσελήλυθεν εἰς τὰ Ἱεροσόλυμα, ἔνθα τὸ μέγιστον ἱερὸν ἦν Ἰουδαίων, ὃ ὑφ' ὑμῶν ὕστερον κατεστράφη [Apol. I, 32, 73 D.]

## C. LEIDENSGESCHICHTE UND AUFERSTEHUNG.

### 13. *Abendmahl.*

**62. (Mt. 26, 3f.) ... καὶ συνήχθησαν οἱ ἀγωνιζόμενοι ἐπὶ τῷ καταδικάσασθαι [καταδικασθῆναι Cod. in mg.] αὐτόν· ὅπερ καὶ ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων αὐτοῦ γέγραπται γενόμενον. [dial. 104, 332 B.]

**63. a. Οἱ γὰρ ἀπόστολοι ἐν τοῖς γενομένοις ὑπ' αὐτῶν ἀπομνημονεύμασιν, ἃ καλεῖται εὐαγγέλια, οὕτως παρέδωκαν ἐντετάλθαι αὐτοῖς· τὸν Ἰησοῦν λαβόντα ἄρτον εὐχαριστήσαντα εἰπεῖν· Τοῦτο ποιεῖτε εἰς τὴν ἀνάμνησίν μου, τοῦτ' ἔστι [τοῦτό ἐστι Edd.] τὸ σῶμά μου (vgl. Lc. 22, 19). καὶ τὸ ποτήριον ὁμοίως λαβόντα καὶ εὐχαριστήσαντα εἰπεῖν· Τοῦτό ἐστι τὸ αἷμά μου· (Mt. 26, 27f. Mc. 14, 23f.)· καὶ μόνοις αὐτοῖς μεταδοῦναι. [Apol. I, 66, 98 B.]

b. (Lc. 22, 19f. Mt. 26, 27f. Mc. 14, 23f. 1 Kor. 11, 24f.). .. τύπος ἦν τοῦ ἄρτου τῆς εὐχαριστίας, ὃν εἰς ἀνάμνησιν τοῦ πάθους, οὗ ἔπαθεν ὑπὲρ τῶν καθαιρομένων τὰς ψυχὰς ἀπὸ πάσης πονηρίας ἀνθρώπων, Ἰησοῦς Χριστὸς ὁ κύριος ἡμῶν παρέδωκε ποιεῖν. ... περὶ δὲ τῶν ἐν παντὶ τόπῳ ὑφ' ἡμῶν τῶν ἐθνῶν προσφερομένων αὐτῷ θυσιῶν, τουτέστι τοῦ ἄρτου τῆς εὐχαριστίας καὶ τοῦ ποτηρίου ὁμοίως τῆς εὐχαριστίας, προλέγει τότε, εἰπὼν καὶ τὸ ὄνομα αὐτοῦ δοξάζειν ἡμᾶς, ὑμᾶς δὲ βεβηλοῦν. [dial. 41, 260 A. C.] c. Ὅτι μὲν οὖν καὶ ἐν ταύτῃ τῇ προφητείᾳ <εἶπεν> περὶ τοῦ ἄρτου, ὃν παρέδωκεν ἡμῖν ὁ ἡμέτερος Χριστὸς ποιεῖν εἰς ἀνάμνησιν τοῦ σεσωματοποιῆσθαι [τε σωματοποιή-

σασθαι Cod.] αὐτὸν διὰ τοὺς πιστεύοντας εἰς αὐτόν, δι' οὓς καὶ παθητὸς γέγονε, καὶ περὶ τοῦ ποτηρίου ὃ εἰς ἀνάμνησιν τοῦ αἵματος αὐτοῦ παρέδωκεν εὐχαριστοῦντας ποιεῖν, φαίνεται. [dial. 70, 296 E]. **d.** Πάσας οὖν διὰ τοῦ ὀνόματος τούτου θυσίας, ἃς παρέδωκεν Ἰησοῦς ὁ Χριστὸς γίνεσθαι, τουτέστιν ἐπὶ τῇ εὐχαριστίᾳ τοῦ ἄρτου καὶ τοῦ ποτηρίου, τὰς ἐν παντὶ τόπῳ τῆς γῆς γινομένας ὑπὸ τῶν Χριστιανῶν προλαβὼν ὁ θεὸς μαρτυρεῖ εὐαρέστους ὑπάρχειν αὐτῷ [dial. 117, 344 D.]

## 14. *Gethsemane.*

*64. (Mt. 26, 36 ff.). Τῇ γὰρ ἡμέρᾳ, ᾗπερ ἔμελλε σταυροῦσθαι, τρεῖς τῶν μαθητῶν αὐτοῦ παραλαβὼν εἰς τὸ ὄρος τὸ λεγόμενον Ἐλαιὼν παρακείμενον εὐθὺς τῷ ναῷ τῷ ἐν Ἱερουσαλήμ, ηὔχετο λέγων· Πάτερ, εἰ δυνατόν ἐστι, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ (Mt. 26, 39) καὶ μετὰ τοῦτο εὐχόμενος λέγει· Μὴ ὡς ἐγὼ βούλομαι, ἀλλ' ὡς σὺ θέλεις (ib.) [dial. 99, 326 A.]

**65. Ἐν γὰρ τοῖς ἀπομνημονεύμασιν, ἅ φημι ὑπὸ τῶν ἀποστόλων αὐτοῦ καὶ τῶν ἐκείνοις παρακολουθησάντων (Lc. 1, 3) συντετάχθαι, <γέγραπται> ὅτι ἵδρως ὡσεὶ θρόμβοι κατεχεῖτο αὐτοῦ εὐχομένου (Lc. 22, 44) καὶ λέγοντος· Παρελθέτω, εἰ δυνατόν, τὸ ποτήριον τοῦτο (Mt. 26, 39). [dial. 103, 331 D.]

## 15. *Die Verhaftung.*

66. (Mt. 26, 30 ff. Mc. 14, 26 ff. Lc. 22, 39 ff.) **a.** Ἐκείνης γὰρ τῆς νυκτός, ὅτε ἐπὶ τὸ ὄρος [ἀπὸ τοῦ ὄρους Cod.] τῶν ἐλαιῶν ἐπῆλθον αὐτῷ οἱ ἀπὸ τοῦ λαοῦ ὑμῶν ὑπὸ τῶν Φαρισαίων καὶ γραμματέων κατὰ τὴν διδασκαλίαν ἀποπεμφθέντες [ἐπιπεμφθ. Cod.], ἐκύκλωσαν αὐτόν. . . . . . οἱ διδάσκαλοι ὑμῶν τοῖς τέκνοις αὐτῶν αἴτιοι ἦσαν τοῦ ἐξελθόντας εἰς τὸ ὄρος τῶν ἐλαιῶν συλλαβεῖν αὐτὸν καὶ ἄγειν ἐπ' αὐτούς. καὶ τὸ εἰπεῖν (Ps. 21, 11) ὅτι Οὐκ ἔστιν ὁ βοηθῶν, δηλωτικὸν καὶ αὐτὸ τοῦ γενομένου. (Mt. 26, 50 ff.) Οὐδεὶς γὰρ οὐδὲ μέχρις ἑνὸς ἀνθρώπου βοηθῶν [βοηθεῖν Cod.] αὐτῷ ὡς ἀναμαρτήτῳ [βοηθὸς] ὑπῆρχε. [dial. 103, 330 B. C]. **b.** Ἦν γὰρ τὸ πάσχα ὁ Χριστός, ὁ τυθεὶς ὕστερον [folgt Jes. 53, 7] καὶ ὅτι ἐν ἡμέρᾳ τοῦ πάσχα συνελάβετε αὐτὸν καὶ ὁμοίως ἐν τῷ πάσχα ἐσταυρώσατε γέγραπται. [dial. 111, 338 C.]

## 16. *Verhöre.*

**67. (Mt. 27, 13f.) . . . σιγήσαντος αὐτοῦ καὶ μηκέτι ἐπὶ Πιλάτου ἀποκρίνεσθαι μηδὲν μηδενὶ βουλομένου, ὡς ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων αὐτοῦ δεδήλωται . . [dial. 102, 329 C.]

68. (Lc. 23, 7f.) Ἡρῴδου δὲ τοῦ Ἀρχέλαον διαδεξαμένου λαβόντος τὴν ἐξουσίαν τὴν ἀπονεμηθεῖσαν αὐτῷ, ᾧ καὶ Πιλᾶτος χαριζόμενος δεδεμένον τὸν Ἰησοῦν ἔπεμψε . . . [dial. 103, 331 A.]

## 17. *Kreuzigung.*

69. a. Καὶ ἐν ἄλλοις πάλιν λόγοις Δαβὶδ εἰς τὸ πάθος καὶ τὸν σταυρὸν ἐν παραβολῇ μυστηριώδει οὕτως εἶπεν ἐν εἰκοστῷ πρώτῳ ψαλμῷ (Ps. 22, 16ff.)· „Ὤρυξαν χεῖράς μου καὶ πόδας μου· ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με. διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.“ ὅτε γὰρ ἐσταύρωσαν αὐτὸν ἐμπήσσοντες τοὺς ἥλους τὰς χεῖρας καὶ τοὺς πόδας αὐτοῦ ὤρυξαν (vgl. Joh. 20, 25), καὶ οἱ σταυρώσαντες αὐτὸν ἐμέρισαν τὰ ἱμάτια αὐτοῦ ἑαυτοῖς λαχμὸν βάλλοντες (Mt. 27, 35. Mc. 15, 24. Lc. 23, 34. Joh. 19, 24.) . . . [dial. 97, 324 C.]

**70. Οἱ γὰρ θεωροῦντες αὐτὸν ἐσταυρωμένον καὶ κεφαλὰς ἕκαστος ἐκίνουν καὶ τὰ χείλη διέστρεφον καὶ τοῖς μυξωτῆρσιν ἐν ἀλλήλοις διαρρινοῦντες [διερινοῦντες Cod.] ἔλεγον εἰρωνευόμενοι ταῦτα ἃ καὶ ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων αὐτοῦ γέγραπται· Υἱὸν θεοῦ ἑαυτὸν ἔλεγε (Mt. 27, 40. 43)· καταβὰς περιπατείτω (V. 40, 42), σωσάτω αὐτὸν ὁ θεός (V. 43; vgl. Mc. 15, 29f.). [dial. 101, 328 B.]

*71. Καὶ πάλιν ὅταν λέγῃ· Ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλὴν λέγοντες· ῥυσάσθω ἑαυτόν (Ps. 22, 7f.)· ἅτινα πάντα γέγονεν ὑπὸ τῶν Ἰουδαίων τῷ Χριστῷ, ὡς μαθεῖν δύνασθε. σταυρωθέντος γὰρ αὐτοῦ ἐξέστρεφον τὰ χείλη καὶ ἐκίνουν τὰς κεφαλὰς λέγοντες· Ὁ νεκροὺς ἀνεγείρας ῥυσάσθω ἑαυτόν (Lc. 23, 35). [Apol. 1, 38, 77 D.]

72. Σταυρωθεὶς γὰρ εἶπεν· Ὁ θεός, ὁ θεός (vgl. Mc. 15, 34) ἵνα τί ἐγκατέλιπές με; (Mt. 27, 46). [dial. 99, 326 A.]

**73. Καὶ γὰρ ἀποδιδοὺς τὸ πνεῦμα ἐπὶ τῷ σταυρῷ εἶπε· Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου (Lc. 23, 46), ὡς καὶ ἐκ τῶν ἀπομνημονευμάτων καὶ τοῦτο ἔμαθον. [dial. 105, 333 B.]

74. (Mt. 27, 57 ff.) Καὶ γὰρ ὁ κύριος σχεδὸν μέχρις ἑσπέρας ἔμεινεν

ἐπὶ τοῦ ξύλου καὶ πρὸς ἑσπέραν ἔθαψαν αὐτόν· εἶτα ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ. [dial. 97, 324 B.]

## 18. *Auferstehung.*

75. Μετὰ γὰρ τὸ σταυρωθῆναι αὐτὸν οἱ σὺν αὐτῷ ὄντες μαθηταὶ
5 αὐτοῦ διεσκεδάσθησαν (Mc. 14, 50. Mt. 26, 56), μέχρις ὅτε [ὅτου Cod. i. mg.] ἀνέστη ἐκ νεκρῶν καὶ πέπεικεν αὐτούς, ὅτι οὕτως προεφήτευτο περὶ αὐτοῦ παθεῖν αὐτόν (Lc. 24, 4 ff.)· καὶ οὕτω πεισθέντες καὶ εἰς τὴν πᾶσαν οἰκουμένην ἐξελθόντες ταῦτα ἐδίδαξαν. [dial. 53, 273 C.]

76. ... (τῶν ἀποστόλων) οἵτινες μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ
10 νεκρῶν καὶ πεισθῆναι ὑπ' αὐτοῦ ὅτι καὶ πρὸ τοῦ παθεῖν ἔλεγεν αὐτοῖς ὅτι ταῦτα αὐτὸν δεῖ παθεῖν καὶ ὑπὸ [Cod. ἀπὸ] τῶν προφητῶν ὅτι προεκεκήρυκτο ταῦτα (Lc. 24, 4 ff.), μετενόησαν ἐπὶ τῷ ἀφίστασθαι αὐτοῦ ὅτε ἐσταυρώθη .... [dial. 106, 333 C; vgl. Nr. 84.]

77. (Lc. 24, 25.) Μετὰ οὖν τὸ σταυρωθῆναι αὐτὸν καὶ οἱ γνώριμοι
15 αὐτοῦ πάντες ἀπέστησαν, ἀρνησάμενοι αὐτόν. ὕστερον δὲ ἐκ νεκρῶν ἀναστάντος καὶ ὀφθέντος αὐτοῖς καὶ ταῖς προφητείαις ἐντυχεῖν, ἐν αἷς πάντα ταῦτα προείρητο γενησόμενα, διδάξαντος καὶ εἰς οὐρανὸν ἀνερχόμενον ἰδόντες καὶ πιστεύσαντες καὶ δύναμιν ἐκεῖθεν αὐτοῖς πεμφθεῖσαν παρ' αὐτοῦ λαβόντες καὶ εἰς πᾶν γένος ἀνθρώπων ἐλθόντες
20 ταῦτα ἐδίδαξαν καὶ ἀπόστολοι προσηγορεύθησαν. [Apol. 1, 50, 86 A.]

78. a. Τὴν δὲ τοῦ Ἡλίου ἡμέραν κοινῇ πάντες τὴν συνέλευσιν ποιούμεθα, ἐπειδὴ πρώτη ἐστὶν ἡμέρα, ἐν ᾗ ὁ θεὸς τὸ σκότος καὶ τὴν ὕλην τρέψας κόσμον ἐποίησε, καὶ Ἰησοῦς Χριστὸς ὁ ἡμέτερος σωτὴρ τῇ αὐτῇ ἡμέρᾳ ἐκ νεκρῶν ἀνέστη· τῇ γὰρ πρὸ τῆς Κρονικῆς ἐσταύ-
25 ρωσαν αὐτόν, καὶ τῇ μετὰ τὴν Κρονικήν, ἥτις ἐστὶν Ἡλίου ἡμέρα, φανεὶς τοῖς ἀποστόλοις αὐτοῦ καὶ μαθηταῖς ἐδίδαξε ταῦτα ... [Apol. 1, 67, 99 A]. b. ... διὰ τοῦ ἀπὸ νεκρῶν ἀναστάντος τῇ μιᾷ τῶν σαββάτων ἡμέρᾳ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν (Lc. 24, 1) ... [dial. 41, 260 D]. c. οἵτινες (Noah, seine Frau und seine 3 Söhne
30 mit ihren Frauen) ἀριθμῷ ὄντες ὀκτὼ σύμβολον εἶχον τῆς ἀριθμῷ μὲν ὀγδόης ἡμέρας, ἐν ᾗ ἐφάνη ὁ Χριστὸς ἡμῶν ἀπὸ νεκρῶν ἀναστάς, δυνάμει δὲ ἀεὶ πρώτης ὑπαρχούσης. [dial. 138, 367 D.]

79. Ὅσοι ἂν πεισθῶσι καὶ πιστεύωσιν ἀληθῆ ταῦτα τὰ ὑφ' ἡμῶν διδασκόμενα καὶ λεγόμενα εἶναι καὶ βιοῦν οὕτως δύνασθαι ὑπισχνῶν-
35 ται, εὔχεσθαί τε καὶ αἰτεῖν νηστεύοντες παρὰ τοῦ θεοῦ τῶν προημαρτημένων ἄφεσιν διδάσκονται, ἡμῶν συνευχομένων καὶ συννηστευόντων αὐτοῖς. ἔπειτα ἄγονται ὑφ' ἡμῶν ἔνθα ὕδωρ ἐστί, καὶ τρόπον ἀναγεν-

νήσεως, ὃν καὶ ἡμεῖς αὐτοὶ ἀνεγεννήθημεν, ἀναγεννῶνται· ἐπ᾽ ὀνόματος γὰρ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου θεοῦ καὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ πνεύματος ἁγίου τὸ ἐν τῷ ὕδατι τότε λουτρὸν ποιοῦνται (Mt. 28, 19). [Apol. 1, 61, 93 D.]

(*80. . . . τῶν μαθητῶν αὐτοῦ μὴ πιστευόντων εἰ ἀληθῶς σώματι 5 ἀνέστη, βλεπόντων αὐτὸν καὶ δισταζόντων (Mt. 28, 17) εἶπεν αὐτοῖς· Οὔπω ἔχετε πίστιν; φησίν, ἴδετε ὅτι ἐγώ εἰμι καὶ ψηλαφᾶν αὐτὸν ἐπέτρεπεν αὐτοῖς καὶ τοὺς τύπους τῶν ἥλων ἐν ταῖς χερσὶν ἐπεδείκνυε καὶ πανταχόθεν αὐτὸν κατανοήσαντες ὅτί αὐτός ἐστι καὶ ἐν τῷ σώματι (Lc. 24, 39f.) παρεκάλεσαν αὐτὸν φαγεῖν μετ᾽ αὐτῶν, ἵνα καὶ διὰ 10 τούτου μάθωσιν, ὅτι ἀληθῶς σωματικῶς ἀνέστη καὶ ἔφαγε κηρίον καὶ ἰχθὺν (Lc. 24, 42) καὶ οὕτως ἐπιδείξας αὐτοῖς, ὅτι ἀληθῶς σαρκὸς ἀνάστασις ἐστιν, βουλόμενος ἐπιδεῖξαι καὶ τοῦτο, καθὼς εἴρηκεν ἐν οὐρανῷ τὴν κατοίκησιν ἡμῶν ὑπάρχειν, ὅτι οὐκ ἀδύνατον καὶ σαρκὶ εἰς οὐρανὸν ἀνελθεῖν ἀνελήφθη βλεπόντων αὐτῶν εἰς τὸν οὐρανὸν [εἰς 15 — οὐρανὸν om. CH] ὡς ἦν ἐν σαρκί. [Justin?, de resurr. 9 p. 47 Holl.])

81. (Ἰησοῦν) ὃν καὶ ἡμεῖς ἐπέγνωμεν Χριστὸν υἱὸν θεοῦ, σταυρωθέντα καὶ ἀναστάντα καὶ ἀνεληλυθότα εἰς τοὺς οὐρανοὺς καὶ πάλιν παραγενησόμενον κριτὴν πάντων ἁπλῶς ἀνθρώπων μέχρις αὐτοῦ Ἀδάμ. [dial. 132, 362 A.] 20

82. Μετὰ γὰρ τὸ σταυρῶσαι ὑμᾶς ἐκεῖνον . . . οὐ μόνον οὐ μετενοήσατε ἐφ᾽ οἷς ἐπράξατε κακοῖς ἀλλὰ ἄνδρας ἐκλεκτοὺς ἀπὸ Ἰερουσαλὴμ ἐκλεξάμενοι τότε ἐξεπέμψατε εἰς πᾶσαν τὴν γῆν λέγοντες· αἵρεσιν ἄθεον Χριστιανῶν πεφηνέναι . . . [dial. 17, 234 D E.]

83. . . . καὶ οὐ μόνον οὐ μετενοήσατε, μαθόντες αὐτὸν ἀναστάντα 25 ἐκ νεκρῶν, ἀλλ᾽ ὡς προεῖπον ἄνδρας χειροτονήσαντες ἐκλεκτοὺς εἰς πᾶσαν τὴν οἰκουμένην ἐπέμψατε, κηρύσσοντες ὅτι αἵρεσίς τις ἄθεος καὶ ἄνομος ἐγήγερται ἀπὸ Ἰησοῦ τινος Γαλιλαίου πλάνου, ὃν σταυρωσάντων ἡμῶν οἱ μαθηταὶ αὐτοῦ κλέψαντες αὐτὸν ἀπὸ τοῦ μνήματος νυκτός (Mt. 28, 13), ὁπόθεν κατετέθη ἀφηλωθεὶς ἀπὸ τοῦ σταυροῦ 30 πλανῶσι τοὺς ἀνθρώπους λέγοντες ἐγηγέρθαι αὐτὸν ἐκ νεκρῶν καὶ εἰς οὐρανὸν ἀνεληλυθέναι· κατειπόντες <τε> δεδιδαχέναι καὶ ταῦτα ἅπερ κατὰ τῶν ὁμολογούντων Χριστὸν καὶ διδάσκαλον καὶ υἱὸν θεοῦ εἶναι παντὶ γένει ἀνθρώπων ἄθεα καὶ ἄνομα καὶ ἀνόσια λέγετε. [dial. 108, 335 C.]

**84. Καὶ ὅτι ἠπίστατο τὸν πατέρα αὐτοῦ πάντα παρέχειν αὐτῷ 35 ὡς ἠξίου (Mt. 11, 27? 26, 53?) καὶ ἀνεγερεῖν [ἀνήγειρεν Cod.] αὐτὸν ἐκ νεκρῶν (Mt. 16, 21. Lc. 9, 22) καὶ πάντας τοὺς φοβουμένους τὸν θεὸν προέτρεπεν αἰνεῖν τὸν θεὸν διὰ τὸ ἐλεῆσαι καὶ διὰ τοῦ μυστηρίου

τοῦ σταυρωθέντος τούτου πᾶν γένος τῶν πιστευόντων ἀνθρώπων, καὶ ὅτι ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ ἔστη τῶν ἀποστόλων (Lc. 24, 36) ... καὶ μετ' αὐτῶν διάγων ὕμνησε τὸν θεόν, ὡς καὶ ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων δηλοῦται γεγενημένον, τὰ λείποντα τοῦ
5 ψαλμοῦ (21, 22 f.) ἐδήλωσεν [l. δηλώσας]. [dial. 106, 333 C.; die Lücke wird durch Nr. 76 ausgefüllt.]

*85. . . . καὶ εὐηγγελίζετο καὶ αὐτὸς λέγων, ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καὶ ὅτι δεῖ αὐτὸν πολλὰ παθεῖν ἀπὸ τῶν γραμματέων καὶ Φαρισαίων καὶ σταυρωθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ
10 ἀναστῆναι καὶ πάλιν παραγενήσεσθαι ἐν Ἱερουσαλὴμ καὶ τότε τοῖς μαθηταῖς αὐτοῦ συμπιεῖν πάλιν καὶ συμφαγεῖν (Mt. 16, 21. Lc. 9, 22. 24, 6 f.), καὶ ἐν τῷ μεταξὺ τῆς παρουσίας αὐτοῦ χρόνῳ, ὡς προέφην, γενήσεσθαι αἱρέσεις καὶ ψευδοπροφήτας ἐπὶ τῷ ὀνόματι αὐτοῦ (s. o. Nr. 36. 37) προεμήνυσε καὶ οὕτω φαίνεται ὄντα. [dial. 51,
15 271 A.]

## XVI. EVANGELIENZITATE IN DEN CLEMENTINISCHEN HOMILIEN.

1. (Mt. 1, 2 ff.) Πρῶτον μὲν γὰρ δύναται ὁ λόγος (Mt. 11, 27) εἰρῆσθαι πρὸς πάντας Ἰουδαίους τοὺς πατέρα νομίζοντας εἶναι Χρι-
20 στοῦ τὸν Δαυίδ, καὶ αὐτὸν δὲ τὸν Χριστὸν υἱὸν ὄντα <αὐτοῦ> καὶ υἱὸν θεοῦ μὴ ἐγνωκότας. διὸ καὶ οἰκείως εἴρηται· „Οὐδεὶς ἔγνω τὸν πατέρα" ἐπεὶ ἀντὶ τοῦ θεοῦ τὸν Δαυὶδ πάντες ἔλεγον. [h. 18. 13.]

2. Ἰωάννης τις ἐγένετο ἡμεροβαπτιστής, ὃς καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ κατὰ τὸν τῆς συζυγίας λόγον ἐγένετο πρόοδος· καὶ ὥσπερ τῷ
25 κυρίῳ γεγόνασιν δώδεκα ἀπόστολοι τῶν τοῦ ἡλίου δώδεκα μηνῶν φέροντες τὸν ἀριθμόν, ὡσαύτως καὶ αὐτῷ ἔξαρχοι ἄνδρες γεγόνασιν τριάκοντα τὸν μηνιαῖον τῆς σελήνης ἀποπληροῦντες λόγον. ἐν ᾧ ἀριθμῷ μία τις ἦν γυνὴ λεγομένη Ἑλένη . . . [h. 2, 23.]

3. (Lc. 3, 1. Mc. 1, 15.) . . . φήμη τις ἠρέμα ἐπὶ τῆς Τιβερίου
30 Καίσαρος βασιλείας ἐξ ἐαρινῆς τροπῆς τὴν ἀρχὴν λαμβάνουσα ηὔξανεν ἑκάστοτε καὶ ὡς ἀληθῶς ἀγαθὴ θεοῦ ἄγγελος διέτρεχε τὸν κόσμον τὸ τοῦ θεοῦ βούλημα σιγῇ στέγειν μὴ δυναμένη. ἑκάστοτε οὖν πλείων καὶ μείζων ἐγίνετο λέγουσα ὥς τις ποτὲ ἐν Ἰουδαίᾳ ἐξ ἐαρινῆς τροπῆς λαβὼν τὴν ἀρχὴν Ἰουδαίοις τὴν τοῦ ἀϊδίου θεοῦ εὐαγ-
35 γελίζεται βασιλείαν, ἧς ἀπολαύειν λέγει ἐάν τις αὐτῶν προκατορθώσῃ τὴν πολιτείαν. [h. 1, 6.]

**30** ἑωθινῶν τόπων Usener |

4. (Mt. 4, 1 ff.) a. Τῷ γὰρ τῆς εὐσεβείας ἡμῶν βασιλεῖ προσῆλθέν ποτε ὁ πρόσκαιρος βασιλεὺς οὐ βίαν ποιῶν (οὐ γὰρ ἐξῆν), ἀλλὰ προτρέπων καὶ ἀναπείθων, ὅτι τὸ πεισθῆναι ἐπὶ τῇ ἑκάστου κεῖται ἐξουσίᾳ. προσελθὼν οὖν ὡς τῶν παρόντων ὢν βασιλεὺς τῷ τῶν μελλόντων βασιλεῖ ἔφη· Πᾶσαι αἱ τοῦ νῦν κόσμου βασιλεῖαι 5 ὑπόκεινται ἐμοὶ ἔτι τε ὁ χρυσὸς καὶ ὁ ἄργυρος καὶ πᾶσα ἡ τρυφὴ τοῦ κόσμου τούτου ὑπὸ ταῖς ἐμαῖς ἐστὶν ἐξουσίαις· διὸ πεσὼν προσκύνησόν μοι καὶ δώσω σοι πάντα ταῦτα. ταῦτα δὲ ἔλεγεν εἰδὼς ὅτι μετὰ τοῦ προσκυνῆσαι καὶ τὴν κατ' αὐτοῦ εἶχεν ἐξουσίαν καὶ οὕτως τῆς μελλούσης δόξης καὶ βασιλείας αὐτὸν ἀφῄρει. καὶ 10 πάντα εἰδὼς οὐ μόνον αὐτὸν οὐ προσεκύνησεν, ἀλλ' οὐδὲ τῶν ὑπ' αὐτοῦ δεδομένων λαβεῖν τι ἠθέλησεν· ἑαυτὸν γὰρ σὺν τοῖς ἑαυτοῦ κατενεχύραζεν, ὅπερ ἐστὶν μὴ ἐξεῖναι τοῦ λοιποῦ τῶν αὐτῷ ἀποδοθέντων μηδὲ ψαῦσαι ἔτι. ἀποκρινάμενος οὖν ἔφη „Γέγραπται κύριον τὸν θεόν σου φοβηθήσῃ καὶ αὐτῷ λατρεύσεις μόνῳ" [v. μόνον] [22] 15 πλὴν ὁ τῶν ἀσεβῶν βασιλεὺς κατὰ πολλὰ τὸν τῶν εὐσεβῶν βασιλέα πρὸς τὸ ἑαυτοῦ βούλημα παράγειν πειρώμενος καὶ μὴ δυνηθεὶς ἐπαύσατο πρὸς τὰ λοιπὰ τῆς πολιτείας θηρεύειν αὐτὸν ἐπιχειρῶν. [h. 8, 21 f. Vgl. zu Z. 14 h. 10, 5.]

b. Ὁ ἀποστείλας ἡμᾶς κύριος ἡμῶν καὶ προφήτης ὑφηγήσατο 20 ἡμῖν, ὡς ὁ πονηρὸς τεσσαράκοντα ἡμέρας διαλεχθεὶς αὐτῷ καὶ μηδὲν δυνηθεὶς πρὸς αὐτόν, ἐκ τῶν αὐτοῦ ὑπηκόων ἐπηγγέλλετο πρὸς ἀπάτην ἀποστόλους πέμψαι. [h. 11, 35.]

c. Αὐτίκα γοῦν ὁμολογεῖ ἐπὶ τεσσαράκοντα ἡμέρας διαλεχθέντα (τὸν πονηρὸν) πεπειρακέναι αὐτόν. [h. 19, 2.] 25

5. Ἡμεῖς γὰρ ἐκ παίδων (ἐγώ τε καὶ Ἀνδρέας ὁ σύναιμος καὶ κατὰ θεὸν ἀδελφὸς ὢν ἐμός) οὐ μόνον ἐν ὀρφανίᾳ ἀνατραφέντες ἀλλὰ καὶ ὑπὸ πενίας καὶ κακουχίας εἰς ἐργατείαν ἐθισθέντες εὐμαρῶς νῦν τὰς τῶν ὁδῶν φέρομεν σκύλσεις. [h. 12, 6.]

6. (Mt. 5, 3.) Πλὴν ὁ διδάσκαλος ἡμῶν πιστοὺς πένητας ἐμακάρισεν, καὶ αὐτοὺς οὐχ ὡς παρεσχηκότας τι — οὐδὲ γὰρ εἶχον — 30 — ἀλλ' ὅτι μηδὲν ἁμαρτάνοντες ἐπὶ μόνῳ τῷ τὴν ἐλεημοσύνην μὴ ποιεῖν διὰ τὸ μὴ ἔχειν καταδικασθῆναι οὐκ ἔχουσι. [h. 15, 10.]

7. (Mt. 5, 8.) Τὴν δὲ καλλίστην μορφὴν ἔχει δι' ἄνθρωπον, ἵνα οἱ καθαροὶ τῇ καρδίᾳ αὐτὸν ἰδεῖν δυνηθῶσιν, ἵνα χαρῶσιν δι' ἅτινα 35 ταῦτα ὑπέμειναν. [h. 17, 7.]

8. (Mt. 5, 14. Lc. 10, 16.) Χρὴ οὖν τὴν ἐκκλησίαν ὡς πόλιν

ἐν ὕψει ᾠκοδομημένην φιλόθεον ἔχειν τάξιν καὶ διοίκησιν καλήν.
[h. 3, 67.]

9. (Mt. 5, 17. 24, 35. 5, 18.) **a.** Τὸ δὲ καὶ εἰπεῖν αὐτὸν Οὐκ
ἦλθον καταλῦσαι τὸν νόμον καὶ φαίνεσθαι αὐτὸν καταλύοντα σημαί-
5 νοντος ἦν, ὅτι ἃ κατέλυεν οὐκ ἦν τοῦ νόμου. τὸ δὲ καὶ εἰπεῖν Ὁ
οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ
παρέλθῃ ἀπὸ τοῦ νόμου τὰ πρὸ οὐρανοῦ καὶ γῆς παρερχόμενα ἐσήμα-
νεν μὴ ὄντα τοῦ ὄντως νόμου. [h. 3, 51.] **b.** (5, 18.) ... ἐπεὶ οὕτως
εἶπεν· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, ἰῶτα ἓν ἢ μία κεραία
10 οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου. [ep. Petri 2.]

10. (Mt. 5, 21 ff.) Οὐχί, ἀλλὰ τὸ πλεῖον, ἵνα <ἐὰν> οἱ ἐν
πλάνῃ μὴ φονεύωσιν, ἡμεῖς μη<δὲ> ὀργιζώμεθα· ἐὰν ὁ ἐν πλάνῃ μὴ
μοιχεύῃ ἡμεῖς τὴν ἀρχὴν μηδὲ ἐνθυμηθῶμεν· ἐὰν ὁ ἐν πλάνῃ τὸν
ἀγαπῶντα ἀγαπᾷ, ἡμεῖς καὶ τοὺς μισοῦντας· ἐὰν ὁ ἐν πλάνῃ δανείζῃ
15 τοῖς ἔχουσιν, ἡμεῖς καὶ τοῖς μὴ ἔχουσιν. [h. 11, 32.]

11. (Mt. 5, 21.] ... ἐὰν μή τις ἀκούσῃ τοῦ τῆς θεοσεβείας λό-
γου, οὐκ ἔστιν ἔνοχος τῇ κρίσει. [h. 10, 12.]

12. (Mt. 5, 37.) **a.** Τοῖς δὲ νομίζουσιν (ὡς αἱ γραφαὶ διδάσκου-
σιν), ὅτι ὁ θεὸς ὀμνύει, ἔφη· Ἔστω ὑμῶν τὸ ναὶ ναὶ <καὶ> τὸ οὒ οὔ·
20 τὸ γὰρ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστίν. [h. 3, 55.]
**b.** Ἀλλὰ καὶ συμβουλεύων εἴρηκεν· Ἔστω ὑμῶν τὸ ναὶ ναὶ καὶ τὸ
οὒ οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστίν. [h. 19, 2.]

13. (Mt. 5, 39 ff. Lc. 6, 29.) Δίκαιον ἔφασκεν εἶναι καὶ τῷ
τύπτοντι αὐτοῦ τὴν σιαγόνα παρατιθέναι καὶ τὴν ἑτέραν, καὶ τῷ
25 αἴροντι αὐτοῦ τὸ ἱμάτιον προσδιδόναι καὶ τὸ μαφόριον, ἀγγαρεύοντι
δὲ μίλιον ἓν συναπέρχεσθαι δύο καὶ ὅσα τοιαῦτα. [h. 15, 5.]

14. (Mt. 5, 44.) **a.** Καὶ ὅμως ἠγάπα καὶ τοὺς μισοῦντας καὶ
ἔκλαιε τοὺς ἀπειθοῦντας καὶ ηὐλόγει τοὺς λοιδοροῦντας, ηὔχετο ὑπὲρ
ἐχθραινόντων. [h. 3, 19.] **b.** ... δίκαιος πειρᾶται καὶ ἐχθροὺς ἀγα-
30 πᾶν καὶ λοιδοροῦντας εὐλογεῖν, ἔτι μὴν καὶ ὑπὲρ ἐχθρῶν εὔχεσθαι.
[h. 12, 32.]

15. (Mt. 5, 45.) Καὶ πάλιν (ἔφη)· Γίνεσθε ἀγαθοὶ καὶ οἰκτίρ-
μονες ὡς ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς, ὃς ἀνατέλλει τὸν ἥλιον ἐπ'
ἀγαθοῖς καὶ πονηροῖς καὶ φέρει τὸν ὑετὸν ἐπὶ δικαίοις καὶ ἀδίκοις.
35 [h. 3, 57, vgl. 11, 12; 18, 2.]

16. (Mt. 6, 6.) Τοῖς δὲ πιστεύουσιν (ὡς αἱ γραφαὶ λέγουσιν)
ὅτι μὴ πάντα βλέπει (ὁ θεός) ἐν τῷ κρυπτῷ εὔχεσθε εἰπὼν καὶ ὁ
πατὴρ ὑμῶν ὁ βλέπων τὰ κρυπτὰ ἀποδώσει ὑμῖν. [h. 3, 55.]

17. (Mt. 6, 13.) Ἀλλὰ καὶ ἐν ᾗ παρέδωκεν εὐχῇ ἔχομεν εἰρημένον· Ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. [h. 19, 2.]

18. (Mt. 6, 32.) Τοῖς δὲ ὑπολαμβάνουσιν ὅτι ὁ θεὸς οὐ προγινώσκει ἔφη· Οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρήζετε τούτων ἁπάντων πρὶν αὐτὸν ἀξιώσητε. [h. 3, 55.] 5

19. (Mt. 7, 2.) ... καὶ ᾧ μέτρῳ ἐμέτρησεν, μετρηθῇ αὐτοῖς τῷ ἴσῳ. [h. 18, 16.]

20. (Mt. 7, 9 ff.) Τοῖς δὲ οἰομένοις αὐτὸν μὴ ἀγαθὸν εἶναι (ὡς αἱ γραφαὶ λέγουσιν) ἔφη· Τίνα ὑμῶν αἰτήσει υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ καὶ ἰχθὺν αἰτήσει, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; εἰ 10 οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτουμένοις αὐτὸν καὶ τοῖς ποιοῦσιν τὸ θέλημα αὐτοῦ; (Mt. 5, 34 f.) τοῖς δὲ αὐτὸν διαβεβαιουμένοις ἐν ναῷ εἶναι ἔφη· Μὴ ὀμόσητε τὸν οὐρανόν, ὅτι θρόνος θεοῦ ἐστίν, μήτε τὴν γῆν, ὅτι ὑποπόδιον τῶν 15 ποδῶν αὐτοῦ ἐστίν. (Mt. 9, 13. 13, 7) τοῖς δὲ προλαβοῦσιν ὅτι θυσιῶν ὀρέγεται ὁ θεὸς ἔφη· Ὁ θεὸς ἔλεος θέλει καὶ οὐ θυσίας, ἐπίγνωσιν αὐτοῦ καὶ οὐχ ὁλοκαυτώματα. [57.] (Mt. 19, 17) τοῖς δὲ πειθομένοις κακὸν αὐτὸν εἶναι (ὡς αἱ γραφαὶ λέγουσιν) ἔφη· Μή με λέγε ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς εστίν. [h. 3, 56 f. es folgt Nr. 16.] 20

21. (Mt. 7, 12. Lc. 6, 31.) **a.** (ἀλήθεια) ἥτις ἑκάστῳ ἐκ τοῦ μὴ θέλειν ἀδικεῖσθαι τοῦ μὴ δεῖν ἄλλον ἀδικεῖν τὴν γνῶσιν παρίστησιν. ... [h. 2, 6.] **b.** Ἅπερ ἕκαστος ἑαυτῷ βούλεται καλά, τὰ αὐτὰ βουλευέσθω καὶ τῷ πλησίον. [h. 7, 4.] **c.** ... πάντα ὅσα ἑαυτῷ τις θέλει καλά, ὡσαύτως ἄλλῳ χρῄζοντι παρεχέτω. [h. 11, 4.] 25 **d.** Ἑνὶ λόγῳ· ὃ θέλει ἑαυτῷ, θέλει καὶ τῷ πλησίον. [h. 12, 32.]

22. [Mt. 7, 13 f.) **a.** Ταύτας τοίνυν τάς τε ἀγαθὰς καὶ κακὰς πράξεις εἰδὼς προμηνύω ὑμῖν ὡς ὁδοὺς δύο ὑποδεικνύων διὰ ποίας μὲν βαδίζοντες ἀπόλλυνται, ποίᾳ δὲ ὁδεύοντες ἀποσώζονται θεῷ ὁδηγούμενοι. ἡ μὲν οὖν τῶν ἀπολλυμένων ὁδὸς πλατεῖα μὲν καὶ 30 ὁμαλωτάτη, ἀπολλύουσα δὲ ἄνευ του πόνου· ἡ δὲ τῶν σωζομένων στενὴ μὲν καὶ τραχεῖα, σώζουσα δὲ πρὸς τῷ τέλει τοὺς διαπορευθέντας ἐπιπόνως. [h. 7, 7.] **b.** Καὶ ὁ διδάσκαλος συμφώνως εἶπεν· Εἰσέλθετε διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, δι' ἧς εἰσελεύσεσθε εἰς τὴν ζωήν. [h. 18, 17.] 35

23. (Mt. 7, 15 f. Lc. 6, 44.) Οὗ χάριν ὁ ἀποστείλας ἡμᾶς ἔφη· Πολλοὶ ἐλεύσονται πρός με ἐν ἐνδύματι προβάτων, ἔσωθεν δὲ εἰσὶ λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγινώσκετε αὐτούς. [h. 11, 35.]

24. (Mt. 7, 21.) Τούτου γὰρ ἕνεκεν ὁ Ἰησοῦς ἡμῶν πρός τινα πυκνότερον „κύριον“ αὐτὸν λέγοντα μηδὲν δὲ ποιοῦντα ὧν αὐτὸς προσέτασσεν ἔφη· Τί με λέγεις Κύριε κύριε καὶ οὐ ποιεῖς ἃ λέγω; [h. 8, 7].

25. (Lc. 10, 7.) Πῶς δὴ καὶ ὑμεῖς οὐ δίκην ὑφέξετε μὴ λογισάμενοι ὅτι Ἄξιός ἐστιν ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ; [h. 3, 71.]

26. (Mt. 8, 9.) Ὅνπερ γὰρ τρόπον καίσαρος χιλιάρχῳ οἱ ὑποκείμενοι στρατιῶται διὰ τὴν τοῦ δεδωκότος ἐξουσίαν τὸν εἰληφότα οἴδασι τιμᾶν, τοσοῦτον ὥστ' ἂν τοὺς ἐφεστῶτας λέγειν τούτῳ Ἐλθὲ καὶ ἔρχεσθαι καὶ ἄλλῳ Πορεύου καὶ πορεύεσθαι ... [h. 9, 21.]

27. (Mt. 8, 11. Lc. 13, 29.) Μέμνημαι γὰρ αὐτοῦ (κυρίου) εἰπόντος· Πολλοὶ ἐλεύσονται ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, ἄρκτου τε καὶ μεσημβρίας καὶ ἀνακλιθήσονται εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. [h. 8, 4.]

28. (Mt. 27, 51. 8, 24. 26. Lc. 8, 24. Mt. 8, 31.) **a.** Πῶς δ' οὐχ ὡς κρείττονα πεφόβηται (ἡ ὕλη), ὡς καὶ διὰ τῶν σεισμῶν τρέμουσα ὁμολογεῖ καὶ ὡς μεγάλα κυματουμένη τῷ διδασκάλῳ πλέοντι καὶ γαλήνην ἐπιτάξαντι τάχιστα πεισθεῖσα ἡσύχασε [Cod. ἡσύχανε]; τί δέ; καὶ οἱ δαίμονες οὐ μετὰ τοῦ φοβεῖσθαι καὶ προτιμᾶν ἐξέβαινον, ἄλλοι δὲ εἰς χοίρους εἰσελθεῖν πρότερον παρακαλοῦντες ἠξίουν ὡς μηδὲ τοῦ εἰς χοίρους εἰσελθεῖν ἄνευ τῆς αὐτοῦ συγχωρήσεως ἐξουσίαν ἔχοντες; [h. 19, 14]. **b.** Ἐπεὶ οὖν ἀλόγοις ζῴοις ἐοικότα πράξαντες ἐκ τῆς ψυχῆς τὴν ἀνθρώπου ψυχὴν ἀπωλέσατε, ὥσπερ χοῖροι γενόμενοι δαιμόνων οἰκήματα [Cod. αἰτήματα] ἐγένεσθε. [h. 10, 6.]

29. (Mt. 10, 8.) Καὶ μὴ λεγέτω τις· Οὐκοῦν ὁ δωρεὰν παρασχεθεὶς λόγος πωλεῖται; [h. 3, 71.]

30. (Mt. 10, 28.) **a.** Ἐνίοτε γὰρ ἄλλαις φωναῖς τῶν ἀπὸ τῶν γραφῶν φοβερὸν καὶ δίκαιον συνίστησι θεὸν λέγων· Μὴ φοβηθῆτε ἀπὸ τοῦ ἀποκτέννοντος τὸ σῶμα, τῇ δὲ ψυχῇ μὴ δυναμένου τι ποιῆσαι· φοβήθητε δὲ τὸν δυνάμενον καὶ σῶμα καὶ ψυχὴν εἰς τὴν γέενναν τοῦ πυρὸς βαλεῖν. ναὶ λέγω ὑμῖν, τοῦτον φοβήθητε. ὅτι δὲ ὄντως τοῦτον φοβηθῆναι ἔλεγεν ὡς δίκαιον θεόν, πρὸς ὃν καὶ ἀδικουμένους βοᾶν λέγει παραβολὴν εἰς τοῦτο εἰπὼν (Lc. 18, 6 ff.) ἐπάγει τὴν ἑρμηνείαν λέγων· Εἰ οὖν ὁ κριτὴς τῆς ἀδικίας ἐποίησεν οὕτως διὰ τὸ ἑκάστοτε ἀξιωθῆναι, πόσῳ μᾶλλον ὁ πατὴρ ποιήσει τὴν ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός; ἢ διὰ τὸ μακροθυμεῖν αὐτὸν ἐπ' αὐτοῖς δοκεῖτε ὅτι οὐ ποιήσει; ναὶ λέγω ὑμῖν ποιήσει, καὶ ἐν τάχει. [h. 17, 5.] **b.** ... ἐὰν αὐτῷ μόνῳ

προσεύχῃ, τὸ σῶμά σου καὶ ψυχὴν κολάσαι καὶ σῶσαι δυναμένῳ . . . [h. 3, 37.]

31. (Mt. 11, 5.) Τοῦ δὲ πιστεύεσθαι αὐτὸν χάριν ὅτι θειότητος γέμων ταῦτα ποιεῖ [Cod. πνέει] πολλὰ θαυμάσια σημεῖά τε καὶ τέρατα διαπράττεται κελεύσει μόνῃ, ὡς παρὰ θεοῦ εἰληφὼς τὴν ἐξουσίαν· κωφοὺς γὰρ ποιεῖ ἀκούειν, τυφλοὺς ἀναβλέπειν, κυλλοὺς ποιεῖ περιπατεῖν, χωλοὺς ἀνορθοῖ, πᾶσαν νόσον ἀπελαύνει, πάντα δαιμόνια φυγαδεύει. ἀλλὰ καὶ λεπροὶ ψωροὶ ἐκ διαστήματος μόνον ἐνορῶντες αὐτῷ ἰώμενοι ἀπαλάσσονται, νεκροὶ δὲ προσφερόμενοι ἐγείρονται καὶ οὐδὲν ἐστὶν ὃ ἀδυνατεῖ ποιεῖν. [h. 1, 6; voraus geht Nr. 2.]

32. (Mt. 11, 25.) **a.** Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, αὐτὸς ὁ κύριος ἡμῶν λέγει· Ἐξομολογοῦμαί σοι, πάτερ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἔκρυψας [v. ἀπέκρυψας] ταῦτα ἀπὸ σοφῶν [v. + καὶ] πρεσβυτέρων καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις θηλάζουσιν. [h. 8, 6.] **b.** Τὸν σὸν διδάσκαλον αἰτιῶ εἰπόντα· Ἐξομολογοῦμαί σοι, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἅπερ ἦν κρυπτὰ σοφοῖς, ἀπεκάλυψας αὐτὰ νηπίοις θηλάζουσιν. [18, 15.]

33. (Mt. 11, 27.) . . . ὁ διδάσκαλος αὐτοῦ Πέτρου Ἰησοῦς ἐλθὼν ἔλεγεν· Οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱὸς ὡς οὐδὲ τὸν υἱόν τις οἶδεν εἰ μὴ ὁ πατὴρ καὶ οἷς ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι. [h. 17, 4. 18, 4. 13. 20.]

34. (Mt. 12, 26.) Καὶ ἄλλῃ που οἶδα αὐτὸν εἰρηκότα· Εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν αὐτοῦ στήκῃ ἡ βασιλεία; (Lc. 10, 18) καὶ ὅτι ἑώρακεν τὸν πονηρὸν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ ἐδήλωσεν. (Mt. 13, 39) καὶ ἄλλοθι ἔφη· Ὁ δὲ τὸ κακὸν σπέρμα σπείρας ἐστὶν ὁ διάβολος. [h. 19, 2.]

35. (Mt. 12, 34.) Οὕτω γὰρ ὁ ἀψευδὴς ἡμῶν εἶπε διδάσκαλος· Ἐκ περισσεύματος καρδίας στόμα λαλεῖ. [h. 19, 7.]

36. (Mt. 12, 42.) Αὐτὸς ἡμᾶς ὁ ἀψευδὴς ἐδίδαξεν <διδάσκαλος> εἰπὼν πρὸς μὲν τοὺς ἀμελοῦντας ἐλθεῖν καὶ ἐπακούειν αὐτοῦ· Βασίλισσα νότου ἐγερθήσεται μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτήν, ὅτι ἦλθεν ἀπὸ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος· καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε καὶ οὐ πιστεύετε. πρὸς δὲ τοὺς ἐν τῷ λαῷ μὴ θέλοντας μετανοῆσαι ἐπὶ τῷ κηρύγματι αὐτοῦ εἶπεν (Lc. 11, 32)· Ἄνδρες Νινευῖται ἐγερθήσονται μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτήν, ὅτι ἀκούσαντες μετενόησαν

εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον ὧδε καὶ οὐδεὶς πιστεύει. [h. 11, 33.]

37. **a.** (Mt. 13, 7. 22.) . . . πολλοῦ πρὸς κάθαρσιν δεῖσθε χρόνου, ἵνα τὸν μεταδιδόμενον ὑμῖν λόγον ἀληθῆ ὥσπερ καλὸν σπόρον ὁ νοῦς
5 λαβὼν μὴ κακαῖς φροντίσιν συνπνίξας ἄκαρπον καταστήσῃ πρὸς τὰ σώζειν δυνάμενα ἔργα. [h. 11, 2.]

**b.** (Mc. 4, 34.) Διὸ καὶ τοῖς αὐτοῦ μαθηταῖς κατ᾽ ἰδίαν ἐπέλυε τῆς τῶν οὐρανῶν βασιλείας τὰ μυστήρια. [h. 19, 20.]

38. Ἐπεὶ οὖν οὐρανοῦ καὶ γῆς ἔτι συνεστώτων παρῆλθαν θυσίαι,
10 βασιλεῖαι, αἱ (Mt. 11, 11) ἐν γεννητοῖς γυναικῶν προφητεῖαι καὶ ὅσα τοιαῦτα, ὡς οὐκ ὄντα θεοῦ προστάγματα — ἔνθεν γοῦν λέγει (Mt. 15, 13)· Πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατὴρ ὁ οὐράνιος ἐκριζωθήσεται — διὰ τοῦτο αὐτὸς ἀληθὴς ὢν προφήτης ἔλεγεν (vgl. Joh. 10, 9)· Ἐγώ εἰμι ἡ πύλη τῆς ζωῆς· ὁ δι᾽ ἐμοῦ εἰσερχόμενος
15 εἰσέρχεται εἰς τὴν ζωήν· ὡς οὐκ οὔσης ἑτέρας τῆς σώζειν δυναμένης διδασκαλίας. διὸ καὶ ἐβόα λέγων (Mt. 11, 28)· Δεῦτε [πρὸς μὲ] πάντες οἱ κοπιῶντες τουτέστιν οἱ τὴν ἀλήθειαν ζητοῦντες καὶ μὴ εὑρίσκοντες αὐτήν, καὶ πάλιν (Joh. 10, 27)· Τὰ ἐμὰ πρόβατα ἀκούει [v. ἀκούουσι] τῆς ἐμῆς φωνῆς· καὶ ἄλλοτε (Mt. 7. 7)· Ζητεῖτε καὶ εὑρίσκετε,
20 ὡς μὴ προδήλως κειμένης τῆς ἀληθείας. [53.] Ἀλλὰ καὶ ἐξ οὐρανοῦ μάρτυς φωνὴ ἠκούσθη λέγουσα (Mt. 17, 5)· Οὗτός ἐστίν μου ὁ υἱὸς ὁ ἀγαπητός, εἰς ὃν εὐδόκησα· τούτου ἀκούετε. Καὶ πρὸς τούτοις ἐπὶ πλεῖον αὐτοὺς πεπλανημένους ἐλέγξαι θέλων τοὺς προφήτας, παρ᾽ ὧν δὴ μεμαθηκέναι ἐβεβαίουν, ἐπιθυμοῦντας ἀληθείας καὶ μὴ μεμα-
25 θηκότας τελευτήσαντας ἀπεφήνατο εἰπὼν (Mt. 13, 17. Lc. 10, 24)· Πολλοὶ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν, ἃ ὑμεῖς βλέπετε, καὶ ἀκοῦσαι ἃ ὑμεῖς ἀκούετε, καὶ ἀμὴν λέγω ὑμῖν, οὔτε εἶδον οὔτε ἤκουσαν. ἔτι μὴν ἔλεγεν (Vgl. Joh. 5, 46. Act. 3, 22 f.)· Ἐγώ εἰμι περὶ οὗ Μωϋσῆς προεφήτευσεν εἰπών· Προφήτην ἐγείρει ὑμῖν
30 κύριος ὁ θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὥσπερ καὶ ἐμέ· αὐτοῦ ἀκούετε κατὰ πάντα. ὃς ἂν δὲ μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἀποθανεῖται. [h. 3, 52 f.]

39. (Mt. 15, 22. Mc. 7, 26 ff.) Ἰούστα τις ἐν ἡμῖν ἐστὶν Συροφοινίκισσα τὸ γένος Χαναναῖτις, ἧς τὸ θυγάτριον ὑπὸ χαλεπῆς νόσου
35 συνείχετο, ἣ καὶ τῷ κυρίῳ ἡμῶν προσῆλθεν βοῶσα καὶ ἱκετεύουσα ὅπως αὐτῆς τὸ θυγάτριον θεραπεύσῃ. ὁ δὲ καὶ ὑφ᾽ ἡμῶν ἀξιωθεὶς εἶπεν· Οὐκ ἔξεστιν ἰᾶσθαι τὰ ἔθνη, ἐοικότα κυσὶν διὰ τὸ διαφόροις χρᾶσθαι τροφαῖς καὶ πράξεσιν, ἀποδεδομένης τῆς κατὰ τὴν βασιλείαν

[βασίλειον codd.] τραπέζης τοῖς υἱοῖς Ἰσραήλ. ἡ δὲ τοῦτο ἀκούσασα καὶ τῆς αὐτῆς τραπέζης ὡς κύων ψιχίων ἀποπιπτόντων συνμεταλαμβάνειν βουλομένη, μεταθεμένη ὅπερ ἦν τῷ ὁμοίως διαιτᾶσθαι τοῖς τῆς βασιλείας υἱοῖς τῆς εἰς τὴν θυγατέρα, ὡς ἠξίωσεν, ἔτυχεν ἰάσεως. [h. 2, 19.] 5

40. (Mt. 15, 26.) Τοὺς δὲ ἀγνοοῦντας οὐκ ἶαται, οὐχ ὅτι οὐ θέλει, ἀλλ' ὅτι οὐκ ἔξεστιν τὰ ἡτοιμασμένα τοῖς υἱοῖς τῆς βασιλείας ἀγαθὰ τοῖς διὰ τὸ ἀδιάκριτον ἀλόγοις ζῴοις παρεικασθεῖσιν παρασχεῖν. [h. 3, 5.]

41. (Mt. 16, 13 ff.) Ἅμα γὰρ τῷ τὸν κύριον εἰπεῖν τίνα αὐτὸν 10 λέγουσιν, καὶ ἄλλους ἄλλο τι λέγοντας αὐτὸν ἀκηκοότος ἐμοῦ ἐπὶ τῆς καρδίας ἀνέβη· οὐκ οἶδα οὖν πῶς εἶπον· Σὺ εἶ ὁ υἱὸς τοῦ ζῶντος θεοῦ. τὸν δὲ μακαρίσαντά με μηνῦσαί μοι τὸν ἀποκαλύψαντα πατέρα εἶναι, ἐμὲ δὲ ἔκτοτε μαθεῖν, ὅτι τὸ ἀδιδάκτως — ἄνευ ὀπτασίας καὶ ὀνείρων — μαθεῖν ἀποκάλυψίς ἐστιν. [h. 17, 18, vgl. Ep. 15 Clem. 1, h. 16, 15.]

42. (Mt. 16, 18.) Πρὸς γὰρ στερεὰν πέτραν ὄντα με, θεμέλιον ἐκκλησίας, ἐναντίας ἀνθέστηκάς μοι. [h. 17, 19.]

43. (Mt. 16, 19.) **a.** Διὸ αὐτῷ μεταδίδωμι τὴν ἐξουσίαν τοῦ δεσμεύειν καὶ λύειν, ἵνα περὶ παντὸς οὗ ἂν χειροτονήσῃ ἐπὶ γῆς ἔσται 20 δεδογματισμένον ἐν οὐρανοῖς. [ep. Clem. 2.] **b.** καὶ οὕτως ἐπακουέτωσάν σου, εἰδότες ὅτι ὁ τῆς ἀληθείας πρεσβευτὴς [Codd. πρεσβύτης] ὃ ἂν δήσῃ ἐπὶ γῆς, δέδεται καὶ ἐν οὐρανῷ, ὃ δ' ἂν λύσῃ λέλυται. [ib. 6.]

44. (Mt. 17, 20.) ... δι' ἧς πίστεως καὶ τὰ ἄλλα τὰ ὄρεσιν 25 ἐοικότα καὶ βαροῦντα μεθίστησιν πάθη. [h. 11, 16.]

45. (Mt. 18, 10.) Θεὸν δὲ φοβεῖσθαι ἐκεῖνον εἶπεν, οὗ οἱ ἄγγελοι οἱ τῶν ἐν ἡμῖν ἐλαχίστων πιστῶν ἐν τῷ οὐρανῷ ἑστήκασιν θεωροῦντες τὸ πρόσωπον τοῦ πατρὸς διαπαντός. [h. 17, 7.]

46. (Mt. 19, 16 ff. Lc. 18, 18 f.) **a.** Αὐτὸς ὁ διδάσκαλος ἡμῶν τῷ 30 εἰπόντι Φαρισαίῳ· Τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; πρῶτον ἔφη· Μή με λέγε ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς ἐστίν, ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς· εὐθὺς ἐπάξας λέγει· Εἰ δὲ θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν, τήρησον τὰς ἐντολάς. Τοῦ δὲ εἰπόντος· Ποίας; ἐπὶ τὰς τοῦ νόμου ἔπεμψεν. [h. 18, 3.] (Mt. 19, 17.) **b.** Ἐκείνου γὰρ εἰπόντος 35 τινι (ὡς μανθάνω)· Μή με λέγε ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς ἐστίν ... [h. 17, 4, vgl. 3, 57]. **c.** Εἰ δὲ οὐκ ἔστιν, ἕτερον ἐκήρυσσεν ὁ Ἰησοῦς

τῷ λέγειν· Μή με λέγε ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς ἐστίν, ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς. [h. 18, 1.]

47. (Mt. 20, 16. 22, 14.) Ἀλλὰ καὶ Πολλοὶ (φησίν) κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. [h. 8, 4.]

5 48. a. (Mt. 22, 2 ff.) Τοῦτο δὲ οὐχ ὑμεῖς μόνοι ὑπὸ ἀγνοίας πεπόνθατε, ἀλλὰ καὶ τινὲς τοῦ ἡμετέρου ἔθνους, οἵτινες ἐπὶ κακαῖς πράξεσιν ὑπὸ τοῦ τῆς κακίας ἡγεμόνος προληφθέντες, ἔπειτα ὥσπερ ἐπὶ δεῖπνον ὑπὸ πατρὸς υἱῷ τελοῦντος γάμους κληθέντες οὐχ ὑπήκουσαν. ἀντὶ δὲ τῶν ἀπειθησάντων διὰ τὴν πρόληψιν ὁ τοὺς γάμους τῷ 10 υἱῷ τελῶν πατὴρ διὰ τοῦ προφήτου τῆς ἀληθείας ἐκέλευσεν ἡμῖν εἰς τὰς διεξόδους τῶν ὁδῶν ἐλθοῦσιν (ὅ ἐστιν πρὸς ὑμᾶς) καθαρὸν ἔνδυμα γάμου περιβαλεῖν (ὅπερ ἐστὶν βάπτισμα, ὃ εἰς ἄφεσιν γίνεται τῶν πεπραγμένων ὑμῖν κακῶν) καὶ τοὺς ἀγαθοὺς εἰς τὸ θεοῦ δεῖπνον εἰσάγειν ἐκ τῆς μεταμελείας εἰ καὶ τὴν ἀρχὴν ἀπελείφθησαν τῆς 15 εὐωχίας. [h. 8, 22.]

b. (Mc. 12, 24.) ... μέμνημαί που αὐτὸν αἰτιώμενον τοὺς Σαδδουκαίους εἰπεῖν Διὰ τοῦτο πλανᾶσθε μὴ εἰδότες τὰ ἀληθῆ τῶν γραφῶν, οὗ εἵνεκεν ἀγνοεῖτε καὶ (καὶ> 3, 50) τὴν δύναμιν τοῦ θεοῦ. [h. 3, 50. 2, 51. 18, 20.]

20 49. (Mt. 23, 2 f.) Ἀλλ' οὐκ ἐζήτησας τίνος ἐστὶν ὁ τῆς βασιλείας χρόνος, τίνος ἡ τῆς προφητείας καθέδρα, καίτοι αὐτοῦ ἑαυτὸν μηνύοντος τῷ λέγειν· Ἐπὶ τῆς καθέδρας Μωϋσέως ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα ὅσα λέγωσιν ὑμῖν, ἀκούετε αὐτῶν. (Lc. 11, 52) αὐτῶν δὲ εἶπεν ὡς τὴν κλεῖδα τῆς βασιλείας 25 πεπιστευμένων, ἥτις ἐστὶν γνῶσις, ἣ μόνη τὴν πύλην τῆς ζωῆς (vgl. Joh. 10, 9) ἀνοῖξαι δύναται, δι' ἧς μόνης εἰς τὴν αἰωνίαν ζωὴν εἰσελθεῖν ἔστιν. [h. 3, 18.]

50. (Mt. 23, 25 f.) Πλὴν πρὸς τοὺς ὑποκριτὰς ἔλεγεν· Οὐαὶ ὑμῖν [v. ὑμεῖς], γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τοῦ 30 ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔξωθεν, ἔσωθεν δὲ γέμει ῥύπους [v. ῥύπου]. Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τοῦ ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔσωθεν, ἵνα γένηται καὶ τὰ ἔξω αὐτῶν καθαρά. [h. 11, 29.]

51. (Mt. 24, 2.) Αὐτίκα γοῦν περὶ τοῦ ἁγιάσματος προλέγων 35 ἔφη· Ὁρᾶτε τὰς οἰκοδομὰς ταύτας; ἀμὴν ὑμῖν λέγω, λίθος ἐπὶ λίθον οὐ μὴ ἀφεθῇ ὧδε, ὃς οὐ μὴ καθαιρεθῇ· (Mt. 24, 34. Lc. 19, 43) καὶ Οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη καὶ ἡ καθαίρεσις ἀρχὴν λήψεται. ἐλεύσονται γὰρ καὶ καθιοῦσιν ἐνταῦθα καὶ

περιχαρακώσουσιν καὶ τὰ τέκνα ὑμῶν ἐνταῦθα κατασφάξουσιν. [h. 3, 15.]

52. (Mt. 24. 11. 24.) Ἔσονται γὰρ (ὡς ὁ κύριος εἶπεν) ψευδαπόστολοι, ψευδεῖς προφῆται, αἱρέσεις, φιλαρχίαι . . . [h. 16, 21.]

53. (Mt. 24, 45 ff. Lc. 12, 42 f.) a. Θεοῦ γὰρ βουλῇ ἀναδείκνυται μακάριος ὁ ἄνθρωπος ἐκεῖνος ὃν καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας τῶν συνδούλων αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὰς τροφὰς ἐν καιρῷ αὐτῶν, μὴ ἐννοούμενον καὶ λέγοντα „ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἐλθεῖν, καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ ἐσθίων καὶ πίνων μετά τε πορνῶν καὶ μεθυόντων. καὶ ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ὥρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ἡμέρᾳ ᾗ οὐ γινώσκει καὶ διχοτομήσει αὐτὸν καὶ τὸ ἀπιστοῦν αὐτοῦ μέρος μετὰ τῶν ὑποκριτῶν θήσει". [61.] εἰ δέ τις τῶν παρεστώτων, διοικεῖν δυνάμενος τὴν ἀγνωμοσύνην τῶν ἀνθρώπων, ὑποστέλλεται τῆς αὑτοῦ ἀναπαύσεως φροντίζων μόνης, καὶ αὐτὸς προσδοκάτω ἀκοῦσαι (Mt. 25, 27. 30)· Δοῦλε πονηρὲ καὶ ὀκνηρέ, ἔδει σε τὸ ἀργύριόν μου προβαλεῖν ἐπὶ τῶν τραπεζιτῶν καὶ ἐγὼ ἂν ἐλθὼν ἔπραξα τὸ ἐμόν· ἐκβάλετε τὸν ἀχρεῖον δοῦλον εἰς τὸ σκότος τὸ ἐξώτερον. [h. 3, 60 f.] b. (Mt. 24, 45 f. Lc. 12, 42 f.). Εἰ τοῦτο εὐλαβῇ, ἄρχων μὲν μὴ καλοῦ, ἀλλὰ ὁ καθεστώς, τοῦτο τοῦ κυρίου δεδωκότος λέγεσθαι τῷ εἰπεῖν· Μακάριος ὁ ἄνθρωπος ἐκεῖνος, ὃν καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας τῶν συνδούλων αὐτοῦ. [h. 3, 64.] c. (Mt. 25, 30. 41.) Τὴν συμφωνίαν ἡμῖν εἰπὲ πῶς δυνατὸν εὔλογον εἶναι τὸν ὑπὸ θεοῦ δικαίου καταστάντα πονηρόν, ὥστε τῶν ἀσεβησάντων εἶναι τιμωρόν, τοῦτον αὐτὸν ὕστερον μετὰ τῶν αὐτοῦ ἀγγέλων σὺν τοῖς ἁμαρτωλοῖς εἰς τὸ σκότος τὸ κατώτερον πέμπεσθαι; [h. 20, 9.]

54. (Mt. 25, 21. 27. 30.) Βούλομαι οὖν, πολυμαθέστερον εἰδώς σε τῶν παρεστώτων, δανείζειν καλὰς γνώμας, ἃς παρὰ τοῦ κυρίου πεπίστευσαι, ἵνα Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ ἀκούσῃς καὶ μὴ ὥσπερ ὁ τὸ ἓν ἀποκρύψας τάλαντον ἔγκλημα λαβὼν κολάσει ὑπεύθυνος ἀναφανῇς. [h. 3, 65.]

55. (Mt. 25, 35 f.) a. Ὅμως ἐὰν ἀγαπήσητε τοὺς ἀδελφοὺς ὑμῶν, οὐδὲν αὐτῶν ἀφαιρήσεσθε, ὧν δὲ ἔχετε μεταδώσετε· πεινῶντας γὰρ θρέψετε, διψῶσιν ποτὸν παρέξετε, γυμνοὺς ἐνδύσετε, νοσοῦντας ἐπισκέψεσθε, τοῖς ἐν εἱρκταῖς ὡς δυνατὸν βοηθήσετε, ξένους εἰς τὰ ἑαυτῶν σκηνώματα προθύμως ἀποδέξεσθε, μηδένα μισήσετε. [h. 3, 69.] b. Πολλῷ μᾶλλον πεινῶντας τρέφετε, καὶ διψῶσι παρέχετε ποτόν, γυμνοῖς ἔνδυμα, τοὺς νοσοῦντας ἐπισκέπτεσθε, τοῖς ἐν φυλακαῖς ἐπι-

φαινόμενοι ὡς δύνασθε βοηθεῖτε, τοὺς ξένους μετὰ πάσης προθυμίας εἰς τοὺς ἑαυτῶν οἴκους λαμβάνετε. [ep. Clem. 9]. **b.** Τιμὴν οὖν τῇ τοῦ θεοῦ εἰκόνι (ὅπερ ἐστὶν ἄνθρωπος) προσφέρειν δεῖ οὕτως· πεινῶντι τροφήν, διψῶντι ποτόν, γυμνιτεύοντι ἔνδυμα, νοσοῦντι πρόνοιαν, ξένῳ στέγην, καὶ τῷ ἐν εἱρκτῇ ὄντι ἐπιφαινόμενοι βοηθεῖν ὡς δυνατόν ἐστιν. [h. 11, 4.] **d.** Ὅπερ (d. h. ἐλεεῖν) ἐστὶν πεινῶντα θρέψαι καὶ ποτὸν διψῶντι παρασχεῖν καὶ γυμνὸν ἐνδῦσαι καὶ νοσοῦντα ἐπισκέψασθαι καὶ ξένον δέξασθαι, τῷ ἐν εἱρκτῇ κατὰ τὸ δυνατὸν ἐπιφαινόμενον βοηθεῖν, ἁπαξαπλῶς τὸν ἐν συμφοραῖς ἐλεῆσαι. [h. 12, 32.]

56. (Mt. 25, 40.) Ὅ τι ἂν οὖν τις ποιήσῃ ἀνθρώπῳ, εἴτε ἀγαθὸν εἴτε κακόν, εἰς ἐκεῖνον ἀναφέρεται. [h. 17, 7.]

57. (Lc. 23, 34.) Αὐτὸς γὰρ ὁ διδάσκαλος προσηλωθεὶς ηὔχετο τῷ πατρὶ τοῖς αὐτὸν ἀναιροῦσιν ἀφεθῆναι τὸ ἁμάρτημα εἰπών· Πάτερ, ἄφες αὐτοῖς τὰς ἁμαρτίας αὐτῶν, οὐ γὰρ οἴδασιν ἃ ποιοῦσιν. [h. 11, 20.]

58. (Mt. 28, 19. Lc. 3, 3.) Εἰδὼς οὖν ἡμᾶς εἰδότας πάντα τὰ ὑπ᾽ αὐτοῦ ῥηθέντα καὶ τὰς ἀποδείξεις παρασχεῖν δυναμένους εἰς τὰ ἀμαθῆ ἔθνη ἀποστέλλων ἡμᾶς βαπτίζειν αὐτοὺς εἰς ἄφεσιν ἁμαρτιῶν, ἐνετείλατο ἡμῖν πρότερον διδάξαι αὐτούς· ἀφ᾽ ὧν ἐντολῶν αὕτη πρώτη καὶ μεγάλη τυγχάνει τὸ φοβηθῆναι κύριον τὸν θεὸν καὶ αὐτῷ μόνῳ λατρεύειν. [h. 17, 7.]

59. (Joh. 3, 5.) Τούτῳ (τῷ ὕδατι) ὁ μήπω προσελθεῖν θέλων ἔτι τὸ τῆς λύσσης φέρει πνεῦμα, οὗ ἕνεκα ἐπὶ τῇ αὑτοῦ σωτηρίᾳ ὕδατι ζῶντι προσελθεῖν οὐ θέλει. [h. 11, 26.]

[60. (Joh. 4, 22.) Simon sagt: Ἐγὼ μὲν οἶδα τί λέγετε, ὑμεῖς δὲ οὐκ οἴδατε περὶ τίνων διαλέγεσθε. [h. 2, 29.]

61. (Joh. 9, 3.) Ὅθεν καὶ <ὁ διδάσκ>αλος ἡμῶν περὶ τοῦ ἐκ γενετῆς πηροῦ καὶ ἀναβλέψαντος παρ᾽ αὐτοῦ ἐξετα<ζόντων τῶν μαθητῶν μήπως ὅτι ἥμαρτ>εν οὗτος ἢ οἱ γονεῖς αὐτοῦ τυφλὸς ἐγεννήθη, ἀπεκρίνατο· Οὔτε οὗτός τι ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ᾽ ἵνα δι᾽ αὐτοῦ φανερωθῇ ἡ δύναμις τοῦ θεοῦ τῆς ἀγνοίας ἰωμένη τὰ ἁμαρτήματα. [h. 19, 22; die Ergänzungen sind von mir.]

62. **a.** . . . εὐλόγως ὁ διδάσκαλος ἡμῶν ἔλεγεν Γίνεσθε τραπεζῖται δόκιμοι, ὡς τῶν ἐν ταῖς γραφαῖς τινῶν μὲν δοκίμων ὄντων λόγων, τινῶν δὲ κιβδήλων. [h. 2, 51]. **b.** Ἀλλὰ καὶ ἐν τῷ φῆναι· Γίνεσθε τραπεζῖται δόκιμοι ὡς δοκίμων καὶ κιβδήλων λόγων ὄντων· [h. 3, 50.] **b.** Οὕτως γὰρ εἶπεν· Γίνεσθε τραπεζῖται δόκιμοι. τραπεζιτῶν δὲ χρεία, ὅτι τοῖς δοκίμοις καὶ τὰ κίβδηλα ἀναμεμιγμένα. [h. 18, 20.]

63. Καὶ τῷ εἰπεῖν· Διὰ τί οὐ νοεῖτε τὸ εὔλογον τῶν γραφῶν; βεβαιότερον τοῦ αὐθαιρέτως εὐγνωμονοῦντος τίθησιν τὸν νοῦν. [h. 3, 50.]

64. Μεμνήμεθα τοῦ κυρίου ἡμῶν καὶ διδασκάλου ὡς ἐντελλόμενος εἶπεν ἡμῖν· Τὰ μυστήρια ἐμοὶ καὶ τοῖς υἱοῖς τοῦ οἴκου μου φυλάξατε. [h. 19, 20.] 5

## XVII. CELSUS UND DIE EVANGELIEN.

1. (Mt. 1, 1 ff.) Οὐ γὰρ ᾔδει ὁ ὡς ἀληθῶς ἀλαζὼν Κέλσος καὶ ἐπαγγελλόμενος εἰδέναι πάντα τὰ Χριστιανῶν φρονίμως ἐπαπορῆσαι τῇ γραφῇ· φησὶ δὲ ἀπηυθαδῆσθαι τοὺς γενεαλογήσαντας ἀπὸ τοῦ πρώτου φύντος καὶ τῶν ἐν Ἰουδαίοις βασιλέων τὸν Ἰησοῦν. καὶ 10 οἴεταί τι εἰσφέρειν γενναῖον, ὅτι οὐκ ἂν ἡ τοῦ τέκτονος γυνὴ τηλικούτου γένους τυγχάνουσα ἠγνόει. [Origenes, Contr. Cels. II, 32.]

2. (Mt. 1, 18 ff.) Μετὰ ταῦτα προσωποποιεῖ Ἰουδαῖον αὐτῷ διαλεγόμενον τῷ Ἰησοῦ καὶ ἐλέγχοντα αὐτὸν περὶ πολλῶν μέν, ὡς οἴεται, πρῶτον δὲ ὡς πλασαμένου αὐτοῦ τὴν ἐκ παρθένου γένεσιν. [I, 28.] 15

3. Εἰ ἄρα καλὴ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ, καὶ ὡς καλῇ αὐτῇ ἐμίγνυτο ὁ θεὸς οὐ πεφυκὼς ἐρᾶν φθαρτοῦ σώματος; ἢ ὅτι οὐδ᾽ εἰκὸς ἦν ἐρασθήσεσθαι αὐτῆς τὸν θεὸν οὔσης οὔτ᾽ εὐδαίμονος οὔτε βασιλικῆς ἐπεὶ μηδεὶς αὐτὴν ᾔδει μηδὲ τῶν γειτόνων. [I, 39.]

4. (Mt. 1, 19.) **a.** Παίζει δὲ λέγων καὶ ὅτι μισουμένην αὐτὴν ὑπὸ 20 τοῦ τέκτονος καὶ ἐκβαλλομένην οὐκ ἔσωσε θεία δύναμις οὐδὲ λόγος πιστικός. οὐδὲν οὖν, φησί, ταῦτα πρὸς τὴν τοῦ θεοῦ βασιλείαν. [I, 39.] **b.** Φησὶ δ᾽ αὐτὴν καὶ ὑπὸ τοῦ γήμαντος, τέκτονος τὴν τέχνην ὄντος, ἐξεῶσθαι ἐλεγχθεῖσαν ὡς μεμοιχευμένην. [I, 28, setzt Nr. 5 b fort.]

4[a]. (Mt. 1, 21.) ἔτι μὴν καὶ ὑπὲρ τῆς Μαρίας κυούσης πρὸς τὸν 25 τέκτονα ἧκεν ἄγγελος, καὶ ὑπὲρ τοῦ τὸ βρέφος ἐξαρπάσαντας φυγεῖν ἄλλος ἄγγελος (Mt. 2, 13). [II, 52; vgl. 58.]

5. (Lc. 2, 4 ff.) **a.** Εἶτα λέγει ὡς ἐκβληθεῖσα ὑπὸ τοῦ ἀνδρὸς καὶ πλανωμένη ἀτίμως σκότιον ἐγέννησε τὸν Ἰησοῦν. [I, 28; setzt Nr. 4 b fort.] **b.** Ὀνειδίζει δ᾽ αὐτῷ καὶ ἐπὶ τῷ ἐκ κώμης αὐτὸν γεγονέναι 30 Ἰουδαϊκῆς καὶ ἀπὸ γυναικὸς ἐγχωρίου καὶ πενιχρᾶς καὶ χερνήτιδος. [I, 28; setzt Nr. 2 fort.]

6. (Mt. 2, 1 ff.) Μετὰ ταῦτα ὁ παρὰ τῷ Κέλσῳ Ἰουδαῖος ἀντὶ τῶν ἐν τῷ εὐαγγελίῳ μάγων Χαλδαίους φησὶν ὑπὸ τοῦ Ἰησοῦ λελέχθαι κινηθέντας ἐπὶ τῇ γενέσει αὐτοῦ ἐληλυθέναι προσκυνήσοντας αὐτὸν ἔτι 35 νήπιον ὡς θεόν, καὶ Ἡρώδῃ τῷ τετράρχῃ τοῦτο δεδηλωκέναι· (V, 16 ff.) τὸν δὲ πέμψαντα ἀποκτεῖναι τοὺς ἐν τῷ αὐτῷ χρόνῳ γεγεννημένους,

οἰόμενον καὶ τοῦτον ἀνελεῖν σὺν αὐτοῖς, μή πως τὸν αὐτάρκη ἐπιβιώσας χρόνον βασιλεύσῃ. [I, 58.]

7. a. Ὅτι δὲ κακουργῶν ὁ Κέλσος οὐκ ἐξέθετο τὴν προφητείαν, δῆλόν μοι γίνεται ἐκ τοῦ παραθέμενον αὐτὸν πολλὰ ἀπὸ τοῦ 5 κατὰ Ματθαῖον εὐαγγελίου, ὥσπερ τὸν ἀνατείλαντα ἀστέρα ἐπὶ τῇ γενέσει τοῦ Ἰησοῦ (Mt. 2, 2. 9) καὶ ἄλλα τῶν παραδόξων, μηδὲ τὴν ἀρχὴν τούτου ἐμνημονευκέναι. [I, 34.] b. . . . καὶ μετὰ ταῦτα ἀνατρέχει ἐπὶ τὸ ἑξῆς τῇ γενέσει τοῦ Ἰησοῦ ἀναγεγραμμένον τὸ περὶ τοῦ ἀστέρος διήγημα καὶ τῶν ἐληλυθότων ἀπὸ ἀνατολῆς μάγων προσ-10 κυνῆσαι τῷ παιδίῳ (Mt. 2, 1—12). [I, 40.]

8. (Mt. 2, 13 ff.) a. Ἐπὶ δὲ τούτοις ἑξῆς ὁ Ἰουδαῖος πρὸς τὸν Ἰησοῦν παρὰ τῷ Κέλσῳ λέγει· τί δὲ καί σε νήπιον ἔτι ἐχρῆν εἰς Αἴγυπτον ἐκκομίζεσθαι, μὴ ἀποσφαγῇς; θεὸν γὰρ οὐκ εἰκὸς ἦν περὶ θανάτου δεδιέναι. ἀλλ' ἄγγελος μὲν ἧκεν ἐξ οὐρανοῦ κελεύων σοι καὶ 15 τοῖς σοῖς οἰκείοις φεύγειν μὴ ἐγκαταλειφθέντες ἀποθάνητε. φυλάσσειν δέ σε αὐτόθι ὁ δύο ἤδη διὰ σὲ πεπομφὼς ἀγγέλους ὁ μέγας θεὸς τὸν ἴδιον υἱὸν οὐκ ἐδύνατο; [I, 66.]

b. Καὶ (φησὶ) ὅτι οὗτος (Jesus) διὰ πενίαν εἰς Αἴγυπτον μισθαρνήσας κἀκεῖ δυνάμεών τινων πειραθείς, ἐφ' αἷς Αἰγύπτιοι σεμνύνονται, 20 ἐπανῆλθεν ἐν ταῖς δυνάμεσι μέγα φρονῶν καὶ δι' αὐτὰς θεὸν αὐτὸν ἀνηγόρευσε. [I, 28; setzt Nr. 5 a fort.]

9. (Mt. 3, 16 f.) a. Ἔστι δ' ὁ Ἰουδαῖος αὐτῷ ἔτι ταῦτα λέγων, πρὸς ὃν ὁμολογοῦμεν εἶναι κύριον ἡμῶν τὸν Ἰησοῦν· λουομένῳ, φησί, σοὶ παρὰ τῷ Ἰωάννῃ φάσμα ὄρνιθος ἐξ ἀέρος λέγεις ἐπιπτῆναι. εἶτα 25 πυνθανόμενος ὁ παρ' αὐτῷ Ἰουδαῖός φησι· τίς τοῦτο εἶδεν ἀξιόχρεως μάρτυς τὸ φάσμα, ἢ τίς ἤκουσεν ἐξ οὐρανοῦ φωνῆς εἰσποιούσης σε υἱὸν τῷ θεῷ; πλὴν ὅτι σὺ φῂς καί τινα ἕνα ἐπάγῃ τῶν μετά σου κεκολασμένων. [I, 41.]

b. Εἰ μὲν ἐβούλετο λανθάνειν, τί ἠκούετο ἡ ἐξ οὐρανοῦ φωνὴ 30 κηρύττουσα αὐτὸν υἱὸν θεοῦ; εἰ δ' οὐκ ἐβούλετο λανθάνειν, τί ἐκολάζετο ἢ τί ἀπέθνησκε; [II, 72.]

10. (Mt. 4. 18 ff.) a. . . . δέκα εἶπεν ἢ ἕνδεκά τινας ἐξαρτησάμενον τὸν Ἰησοῦν ἑαυτῷ ἐπιρρήτους ἀνθρώπους τελώνας καὶ ναύτας τοὺς πονηροτάτους, μετὰ τούτων τῇδε κἀκεῖσε αὐτὸν ἀποδεδρακέναι, αἰσχρῶς 35 καὶ γλίσχρως τροφὰς συνάγοντα . . . [I, 62]. b. . . . παρὼν δέκα ναύτας καὶ τελώνας τοὺς ἐξωλεστάτους μόνους εἷλε καὶ οὐδὲ τούτους ἅπαντας. [II, 46.]

11. (Mt. 6, 19 ff. 5, 39 f.) . . . ὁ δ' υἱὸς ἄρα αὐτοῦ (Gottes), ὁ

Ναζωραῖος ἄνθρωπος, ἀντινομοθετεῖ μηδὲ παριτητὸν εἶναι πρὸς τὸν πατέρα τῷ πλουτοῦντι ἢ φιλαρχιῶντι ἢ σοφίας ἢ δόξης ἀντιποιουμένῳ· δεῖν δὲ σίτων μὲν καὶ ταμείου μὴ μᾶλλόν τι φροντίζειν ἢ τοὺς κόρακας, ἐσθῆτος δὲ ἧττον ἢ τὰ κρίνα, τῷ δ' ἅπαξ τυπτήσαντι παρέχειν καὶ αὖθις τύπτειν; [VII, 18.] 5

*12. (Mt. 5, 39f. Lc. 6, 29f.). Ἔστιν αὐτοῖς καὶ τοιόνδε παράγγελμα τὸν ὑβρίζοντα μὴ ἀμύνεσθαι· κἂν τύπτῃ, φησί, τὴν ἑτέραν γνάθον, σὺ δὲ καὶ τὴν ἄλλην πάρεχε. [VII, 58.]

*13. (Mt. 6, 24). Ἔνθεν αὐτοῖς (d. Christen) ἐκεῖνο τὸ παράγγελμα τὸ μὴ δουλεύειν δύο κυρίοις, ἵν' ἡ στάσις περὶ ἕνα τοῦτον φυλάσσηται. [VIII, 15.] 10

14. (Mt. 7, 22). Ὁ δὲ Κέλσος . . . φησὶν αὐταῖς λέξεσιν· Ὦ φῶς καὶ ἀλήθεια, τῇ αὑτοῦ φωνῇ διαρρήδην ἐξαγορεύει, καθὰ καὶ ὑμεῖς συγγεγράφατε, διότι παρέσονται ὑμῖν καὶ ἕτεροι δυνάμεσιν ὁμοίαις χρώμενοι, κακοὶ καὶ γόητες, καὶ σατανᾶν τινα τοιαῦτα παραμηχανώμενον ὀνομάζει· ὥστ' οὐδὲ αὐτὸς ἔξαρνός ἐστιν, ὡς ταῦτά γε οὐδὲν θεῖον ἀλλὰ πονηρῶν ἐστιν ἔργα. [II, 49.] 15

15. (Mt. 11, 5. Lc. 7, 22). Καὶ νῦν δὲ φησὶν οἱονεὶ ἡμᾶς ἀποκρίνασθαι ὅτι διὰ τοῦτ' ἐνομίσαμεν αὐτὸν εἶναι υἱὸν θεοῦ, ἐπεὶ χωλοὺς καὶ τυφλοὺς ἐθεράπευσε . . . ὡς ὑμεῖς φατε, ἀνίστη νεκρούς. [II, 48]. 20

16. (Mt. 11, 22 ff. 23, 13 ff.) . . . μέμφεται (d. Jude) γὰρ τὸν Ἰησοῦν τοιαῦτα λέγων περὶ αὐτοῦ (Jesus)· ἀπειλεῖ καὶ λοιδορεῖ κούφως, ὁπόταν λέγῃ· Οὐαὶ ὑμῖν καὶ Προλέγω ὑμῖν; [II, 76.]

17. (Mt. 14, 13 ff.). . . . ὁ Κέλσος . . . προσποιεῖται συγχωρεῖν ἀληθῆ εἶναι ὅσα περὶ θεραπειῶν ἢ ἀναστάσεως ἢ περὶ ἄρτων ὀλίγων θρεψάντων πολλοὺς ἀναγέγραπται, ἀφ' ὧν λείψανα πολλὰ καταλέλειπται ἢ ὅσα ἄλλα οἴεται τερατευσαμένους τοὺς μαθητὰς ἱστορηκέναι. [I, 68.] 25

18. (Mt. 16, 21 ff.). Ἐγκαλεῖ δὲ τοῖς μαθηταῖς ὡς πλασαμένοις ὅτι πάντα τὰ συμβάντα αὐτῷ ἐκεῖνος προῄδει καὶ προειρήκει. [II, 13.]

*19. (Mt. 19, 23). Μετὰ ταῦτα τὴν κατὰ τῶν πλουσίων ἀπόφασιν τοῦ Ἰησοῦ εἰπόντος· εὐκοπώτερον κάμηλον εἰσελθεῖν διὰ τρήματος ῥαφίδος ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ φησὶν ἄντικρυς ἀπὸ Πλάτωνος εἰρῆσθαι τοῦ Ἰησοῦ παραφθείροντος τὸ Πλατωνικόν (Legg. V, 12)· . . . [VI, 16.] 30

*20. (Mt. 19, 26). Εἶτα ἀνθυποφέρει ὡσπερεὶ λεγόμενον ὑφ' ἡμῶν τὸ δυνήσεται πάντα ὁ θεός . . . [III, 70.] 35

21. (Mt. 21, 12 ff. Joh. 2, 18. 10, 24). Σὺ (Jesus) δὲ δή, τί καλὸν ἢ θαυμάσιον ἔργῳ ἢ λόγῳ πεποίηκας; ἡμῖν οὐδὲν ἐπεδείξω καίτοι

προκαλουμένων ἐν τῷ ἱερῷ σε παρασχέσθαι τι ἐναργὲς γνώρισμα, ὡς εἴης ὁ τοῦ θεοῦ παῖς. [I, 67.]

22. (Mt. 26, 20 ff. 33 f.) a. Ἑξῆς δὲ τούτῳ καὶ ἄλλο εὔηθές φησιν ὁ παρὰ τῷ Κέλσῳ Ἰουδαῖος, ὅτι· Πῶς εἴπερ προεῖπε καὶ τὸν προδώ-
5 σοντα καὶ τὸν ἀρνησόμενον οὐκ ἂν ὡς θεὸν ἐφοβήθησαν, ὡς τὸν μὲν μὴ προδοῦναι ἔτι, τὸν δὲ μὴ ἀρνήσασθαι. [II, 18.]

b. Ταῦτα θεός, φησίν, ὢν προεῖπε καὶ πάντως ἐχρῆν γενέσθαι τὸ προειρημένον. θεὸς οὖν τοὺς αὐτοῦ μαθητὰς καὶ προφήτας, μεθ' ὧν συνεδείπνει καὶ συνέπινεν εἰς τοῦτο περιήγαγεν, ὥστε ἀσεβεῖς καὶ
10 ἀνοσίους γενέσθαι, ὃν ἐχρῆν μάλιστα πάντας ἀνθρώπους εὐεργετεῖν, διαφερόντως δὲ τοὺς ἑαυτοῦ συνεστίους. ἢ ἀνθρώπῳ μὲν ὁ κοινωνήσας τραπέζης οὐκ ἂν ἔτι ἐπεβούλευσε, θεῷ δὲ συνευωχηθεὶς ἐπίβουλος ἐγίνετο; καὶ ὅπερ ἔτι ἀτοπώτερον, αὐτὸς ὁ θεὸς τοῖς συντραπέζοις ἐπεβούλευσε, προδότας καὶ δυσσεβεῖς ποιῶν. [II, 20.]

15 *23. (Mt. 26, 38). Τί οὖν ποτνιᾶται καὶ ὀδύρεται καὶ τὸν τοῦ ὀλέθρου φόβον εὔχεται παραδραμεῖν λέγων ὧδέ πως· ὦ πάτερ, εἰ δύναται (εἴθε δύναιτο 154, 9) τὸ ποτήριον τοῦτο παρελθεῖν; [II, 24 p. 153, 7. 154, 9 Koetschau.]

24. (Mt. 26, 46 ff.) a. Μετὰ ταῦτα φησὶν ὁ Ἰουδαῖος· Πῶς δ'
20 ἐμέλλομεν τοῦτον νομίζειν θεόν, ὃς τά τε ἄλλα ὥσπερ ἐπηκούετο οὐδὲν ὧν ἐπηγγέλλετο ἐπεδείκνυτο καὶ ἐπειδὴ ἡμεῖς ἐλέγξαντες αὐτὸν καὶ καταγνόντες ἠξιοῦμεν κολάζεσθαι κρυπτόμενος μὲν καὶ διαδιδράσκων ἐπονειδιστότατα ἑάλω, ὑπ' αὐτῶν δὲ ὧν ὠνόμαζε μαθητῶν προυδόθη; καίτοι θεόν, φησίν, ὄντα οὔτε φεύγειν ἐνῆν οὔτε δεθέντα ἀπάγεσθαι,
25 ἥκιστα δὲ ὑπὸ τῶν συνόντων αὐτῷ καὶ παντὸς ἰδίᾳ κεκοινωνηκότων καὶ διδασκάλῳ χρωμένων σωτῆρα νομιζόμενον καὶ θεοῦ τοῦ μεγίστου παῖδα καὶ ἄγγελον ἐγκαταλείπεσθαί τε καὶ ἐκδίδοσθαι. [II, 9.]

b. Ἀλλ' αὐτοὶ προέδωκάν τε καὶ ἠρνήσαντο μηδὲν αὐτοῦ φροντίσαντες. [II, 18.]

30 25. (Mt. 26, 70). Εἶτα οἱ μὲν τότε ζῶντι αὐτῷ συνόντες καὶ τῆς φωνῆς ἐπακούοντες αὐτοῦ καὶ διδασκάλῳ χρώμενοι κολαζόμενον καὶ ἀποθνήσκοντα ὁρῶντες οὔτε συναπέθανον οὔτε ὑπεραπέθανον αὐτοῦ οὐδὲ κολάσεων καταφρονεῖν ἐπείσθησαν, ἀλλὰ καὶ ἠρνήσαντο εἶναι μαθηταί· νῦν δὲ ὑμεῖς αὐτῷ συναποθνήσκετε. [II, 45.]

35 26. (Mt. 27, 26). . . . λόγον ἐπαγγελλόμενοι υἱὸν εἶναι τοῦ θεοῦ ἀποδείκνυμεν οὐ λόγον καθαρὸν καὶ ἅγιον ἀλλὰ ἄνθρωπον ἀτιμότατα ἀπαχθέντα καὶ ἀποτυμπανισθέντα. [II, 31.]

3. **a.** Εἶτα ἐπιφέρει· Τοῦτον τὸν θεὸν σέβεσθε μὴ κατὰ τοὺς Ἕλληνας ὡς δηλονότι τὸν αὐτὸν ἡμῖν σεβόντων θεὸν καὶ τῶν παρ' Ἕλλησι δοκίμων, ἀλλ' οὐ κατ' ἐπίγνωσιν παντελῆ τὴν δι' υἱοῦ παράδοσιν μὴ μεμαθηκότων· μὴ τοίνυν, φησί, σέβεσθε οὐκ εἶπεν θεὸν ὃν οἱ Ἕλληνες, ἀλλὰ μὴ κατὰ τοὺς Ἕλληνας, τὸν τρόπον τὸν τῆς σεβάσεως ἐναλάττων τοῦ θεοῦ, οὐχὶ δὲ ἄλλον καταγγέλλων. τί οὖν ἐστι τὸ μὴ κατὰ τοὺς Ἕλληνας αὐτὸς διασαφήσει Πέτρος ἐπιφέρων ὅτι Ἀγνοίᾳ φερόμενοι καὶ μὴ ἐπιστάμενοι τὸν θεὸν ὡς ἡμεῖς κατὰ τὴν γνῶσιν τὴν τελείαν, ὧν ἔδωκεν αὐτοῖς ἐξουσίαν εἰς χρῆσιν μορφώσαντες, ξύλα καὶ λίθους, χαλκὸν καὶ σίδηρον, χρυσὸν καὶ ἄργυρον, τῆς ὕλης αὐτῶν καὶ χρήσεως <ἐπιλαθόμενοι>, τὰ δοῦλα τῆς ὑπάρξεως ἀναστήσαντες σέβονται καὶ ἃ ἔδωκεν αὐτοῖς εἰς βρῶσιν ὁ θεὸς πετεινὰ τοῦ ἀέρος καὶ τῆς θαλάσσης τὰ νηκτὰ καὶ τῆς γῆς τὰ ἑρπετὰ [καὶ τὰ] θηρία σὺν κτήνεσι τετραπόδοις τοῦ ἀγροῦ, γαλᾶς τε καὶ μῦς, αἰλούρους τε καὶ κύνας καὶ πιθήκους, καὶ τὰ ἴδια βρώματα βρωτοῖς θύματα θύουσιν καὶ νεκρὰ νεκροῖς προσφέροντες ὡς θεοῖς ἀχαριστοῦσι τῷ θεῷ διὰ τούτων ἀρνούμενοι αὐτὸν εἶναι. [Clemens Al., Strom. VI, 5, 39. 40; setzt 2 a fort; es folgt 4.]

**b.** Πολὺ δέ ἐστι νῦν παρατίθεσθαι τοῦ Ἡρακλέωνος τὰ ῥητὰ ἀπὸ τοῦ ἐπιγεγραμμένου Πέτρου κηρύγματος παραλαμβανόμενα καὶ ἵστασθαι πρὸς αὐτὰ ἐξετάζοντας καὶ περὶ τοῦ βιβλίου, πότερόν ποτε γνήσιόν ἐστιν ἢ νόθον ἢ μικτόν· διόπερ ἑκόντες ὑπερτιθέμεθα ταῦτα μόνον ἐπισημειούμενοι φέρειν αὐτὸν ὡς Πέτρου διδάξαντος, μὴ δεῖν κατ'

**1** περίφρασιν Lowth, περίστασιν Wendland | **6** ἀρχῆς Klostermann, γραφῆς Cod. | **20** ὧν Potter, ἣν Cod. | **22** ἐπιλαθόμενοι + Stählin | **25** καὶ τὰ str. Stählin |

Ἕλληνας προσκυνεῖν τὰ τῆς ὕλης πράγματα ἀποδεχομένους καὶ λατρεύοντας ξύλοις καὶ λίθοις· μήτε κατὰ Ἰουδαίους σέβειν τὸν θεόν, ἐπείπερ καὶ αὐτοὶ μόνοι οἰόμενοι ἐπίστασθαι θεὸν ἀγνοοῦσιν αὐτὸν λατρεύοντες ἀγγέλοις καὶ μηνὶ καὶ σελήνῃ. [Origenes, Comment. in Joh. XIII, 17, 104.]

4. Καὶ ὅτι γε ὡς τὸν αὐτὸν θεὸν ἡμῶν τε αὐτῶν καὶ Ἑλλήνων ἐγνωκότων φέρεται πλὴν οὐχ ὁμοίως, ἐποίσει πάλιν ὧδέ πως Μηδὲ κατὰ Ἰουδαίους σέβεσθε. καὶ γὰρ ἐκεῖνοι μόνοι οἰόμενοι τὸν θεὸν γινώσκειν οὐκ ἐπίστανται, λατρεύοντες ἀγγέλοις καὶ ἀρχαγγέλοις, μηνὶ καὶ σελήνῃ. καὶ ἐὰν μὴ σελήνη φανῇ, σάββατον οὐκ ἄγουσι τὸ λεγόμενον πρῶτον, οὐδὲ νεομηνίαν ἄγουσιν οὔτε ἄζυμα οὔτε ἑορτὴν οὔτε μεγάλην ἡμέραν. [Clemens Al., Strom. VI. 5, 41, setzt 3[a] fort; vgl. Origenes oben bei Nr. 3.]

5. Εἶτα τὸν κολοφῶνα τοῦ ζητουμένου προσεπιφέρει· Ὥστε καὶ ὑμεῖς ὁσίως καὶ δικαίως μανθάνοντες ἃ παραδίδομεν ὑμῖν, φυλασσεσθε καινῶς τὸν θεὸν διὰ τοῦ Χριστοῦ σεβόμενοι· εὕρομεν γὰρ ἐν ταῖς γραφαῖς καθὼς ὁ κύριος λέγει „Ἰδοὺ διατίθεμαι ὑμῖν καινὴν διαθήκην· οὐχ ὡς διεθέμην τοῖς πατράσιν ὑμῶν ἐν ὄρει Χωρήβ“. νέαν ὑμῖν διέθετο — τὰ γὰρ Ἑλλήνων καὶ Ἰουδαίων παλαιά — ὑμεῖς δὲ οἱ καινῶς αὐτὸν τρίτῳ γένει σεβόμενοι Χριστιανοί. [Clemens Al., l. c. 41.]

6. Διὰ τοῦτό φησιν ὁ Πέτρος εἰρηκέναι τὸν κύριον τοῖς ἀποστόλοις· Ἐὰν μὲν οὖν τις θελήσῃ τοῦ Ἰσραὴλ μετανοῆσαι <καὶ> διὰ τοῦ ὀνόματός μου πιστεύειν ἐπὶ τὸν θεόν, ἀφεθήσονται αὐτῷ αἱ ἁμαρτίαι· μετὰ <δὲ> δώδεκα ἔτη ἐξέλθετε εἰς τὸν κόσμον, μή τις εἴπῃ· οὐκ ἠκούσαμεν. [Clemens Al., l. c. 43.]

7. Αὐτίκα ἐν τῷ Πέτρου κηρύγματι ὁ κύριός φησι πρὸς τοὺς μαθητὰς μετὰ τὴν ἀνάστασιν· Ἐξελεξάμην ὑμᾶς δώδεκα μαθητὰς κρίνας ἀξίους ἐμοῦ, οὓς ὁ κύριος ἠθέλησεν, καὶ ἀποστόλους πιστοὺς ἡγησάμενος εἶναι, πέμπων ἐπὶ τὸν κόσμον εὐαγγελίσασθαι τοὺς κατὰ τὴν οἰκουμένην ἀνθρώπους γινώσκειν ὅτι εἷς θεός ἐστιν διὰ τῆς [τοῦ Χριστοῦ] πίστεως ἐμῆς δηλοῦντας τὰ μέλλοντα, ὅπως οἱ ἀκούσαντες καὶ πιστεύσαντες σωθῶσιν, οἱ δὲ μὴ πιστεύσαντες ἀκούσαντες μαρτυρήσωσιν, οὐκ ἔχοντες ἀπολογίαν εἰπεῖν ‘οὐκ ἠκούσαμεν’. [Clemens Al., l. c. VI, 6, 48.]

23 <καὶ> + Stählin | 25 <δὲ> + Preuschen | 34 τιμωρηθῶσιν Wendland, μαρτυρηθῶσιν Hilgenfeld |

8. Πάσαις δ' ἄνωθεν ταῖς ψυχαῖς εἴρηται ταῖς λογικαῖς· Ὅσα ἐν ἀγνοίᾳ τις ὑμῶν ἐποίησεν μὴ εἰδὼς σαφῶς τὸν θεόν, ἐὰν ἐπιγνοὺς μετανοήσῃ, πάντα αὐτῷ ἀφεθήσεται τὰ ἁμαρτήματα. [Clemens Al., l. c.]

9. Ὅθεν καὶ ὁ Πέτρος ἐν τῷ κηρύγματι περὶ τῶν ἀποστόλων λέγων φησιν· Ἡμεῖς δὲ ἀναπτύξαντες τὰς βίβλους ἃς εἴχομεν τῶν προφητῶν, ἃ μὲν διὰ παραβολῶν, ἃ δὲ δι' αἰνιγμάτων, ἃ δὲ αὐθεντικῶς καὶ αὐτολεξεὶ τὸν Χριστὸν Ἰησοῦν ὀνομαζόντων, εὕρομεν καὶ τὴν παρουσίαν αὐτοῦ καὶ τὸν θάνατον καὶ τὸν σταυρὸν καὶ τὰς λοιπὰς κολάσεις πάσας ὅσας ἐποίησαν αὐτῷ οἱ Ἰουδαῖοι καὶ τὴν ἔγερσιν καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν πρὸ τοῦ Ἱεροσόλυμα κριθῆναι, καθὼς ἐγέγραπτο ταῦτα πάντα, ἃ ἔδει αὐτὸν παθεῖν καὶ μετ' αὐτὸν ἃ ἔσται. ταῦτα οὖν ἐπιγνόντες ἐπιστεύσαμεν τῷ θεῷ διὰ τῶν γεγραμμένων εἰς αὐτόν. [Clemens Al., l. c. VI, 15, 128.]

10. Καὶ μετ' ὀλίγα ἐπιφέρει πάλιν θείᾳ προνοίᾳ τὰς προφητείας γεγενῆσθαι παριστὰς ὧδε· Ἔγνωμεν γὰρ ὅτι ὁ θεὸς αὐτὰ προσέταξεν ὄντως καὶ οὐδὲν ἄτερ γραφῆς λέγομεν. [Clemens Al., l. c.]

## XXIII. FRAGMENTE DES PAPIAS.

1. Ἰωάννην τὸν θεολόγον καὶ ἀπόστολον Εἰρηναῖος καὶ ἄλλοι ἱστοροῦσι παραμεῖναι τῷ βίῳ ἕως τῶν χρόνων Τραιανοῦ· μεθ' ὃν Παπίας Ἱεραπολίτης καὶ Πολύκαρπος Σμύρνης ἐπίσκοπος ἀκουσταὶ αὐτοῦ ἐγνωρίζοντο. [Eusebius, Chronic. a. Abr. 2114 (Syncell. 655, 14) II, 162 Schoene.]

2. Διέπρεπέ γε μὴν κατὰ τούτους ἐπὶ τῆς Ἀσίας τῶν ἀποστόλων ὁμιλητὴς Πολύκαρπος τῆς κατὰ Σμύρναν ἐκκλησίας πρὸς τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ κυρίου τὴν ἐπισκοπὴν ἐγκεχειρισμένος. καθ' ὃν ἐγνωρίζετο Παπίας τῆς ἐν Ἱεραπόλει παροικίας καὶ αὐτὸς ἐπίσκοπος [ἀνὴρ τὰ πάντα ὅτι μάλιστα λογιώτατος καὶ τῆς γραφῆς εἰδήμων . . .]. [Eusebius, h. e. III, 36, 1. 2.]

3. [1] Τοῦ δὲ Παπία συγγράμματα πέντε τὸν ἀριθμὸν φέρεται, ἃ καὶ ἐπιγέγραπται Λογίων κυριακῶν ἐξηγήσεως. τούτων καὶ Εἰρηναῖος (V, 33, 4) ὡς μόνων αὐτῷ γραφέντων μνημονεύει ὧδέ πως λέγων· „Ταῦτα δὲ καὶ Παπίας ὁ Ἰωάννου μὲν ἀκουστής, Πολυκάρπου

12 κριθῆναι v. Dobschütz, κτισθῆναι Cod. | 28 der Zusatz fehlt in ATM Syr. Ruf.

δὲ ἑταῖρος γεγονώς, ἀρχαῖος ἀνήρ, ἐγγράφως ἐπιμαρτυρεῖ ἐν τῇ τετάρτῃ τῶν ἑαυτοῦ βίβλων. ἔστιν γὰρ αὐτῷ πέντε βιβλία συντεταγμένα". καὶ ὁ μὲν Εἰρηναῖος ταῦτα. [2] αὐτός γε μὴν ὁ Παπίας κατὰ τὸ προοίμιον τῶν αὐτοῦ λόγων ἀκροατὴν μὲν καὶ αὐτόπτην οὐδαμῶς 5 ἑαυτὸν γενέσθαι τῶν ἱερῶν ἀποστόλων ἐμφαίνει, παρειληφέναι δὲ τὰ τῆς πίστεως παρὰ τῶν ἐκείνοις γνωρίμων διδάσκει δι' ὧν φησι λέξεων·

[3] Οὐκ ὀκνήσω δέ σοι καὶ ὅσα ποτὲ παρὰ τῶν πρεσβυτέρων καλῶς ἔμαθον καὶ καλῶς ἐμνημόνευσα συγκατατάξαι ταῖς ἑρμηνείαις διαβεβαιούμενος ὑπὲρ αὐτῶν ἀλήθειαν. οὐ γὰρ τοῖς τὰ 10 πολλὰ λέγουσιν ἔχαιρον ὥσπερ οἱ πολλοί, ἀλλὰ τοῖς τἀληθῆ διδάσκουσιν οὐδὲ τοῖς τὰς ἀλλοτρίας ἐντολὰς μνημονεύουσιν, ἀλλὰ τοῖς τὰς παρὰ τοῦ κυρίου τῇ πίστει δεδομένας καὶ ἀπ' αὐτῆς παραγινομένας τῆς ἀληθείας. [4] εἰ δέ που καὶ παρηκολουθηκώς τις τοῖς πρεσβυτέροις ἔλθοι, τοὺς τῶν πρεσβυτέρων 15 ἀνέκρινον λόγους, τί Ἀνδρέας ἢ τί Πέτρος εἶπεν ἢ τί Φίλιππος ἢ τι Θωμᾶς ἢ Ἰάκωβος ἢ τί Ἰωάννης ἢ Ματθαῖος ἤ τις ἕτερος τῶν τοῦ κυρίου μαθητῶν, ἅ τε Ἀριστίων καὶ ὁ πρεσβύτερος Ἰωάννης, τοῦ κυρίου μαθηταί, λέγουσιν. οὐ γὰρ τὰ ἐκ τῶν βιβλίων τοσοῦτόν με ὠφελεῖν ὑπελάμβανον, ὅσον τὰ παρὰ 20 ζώσης φωνῆς καὶ μενούσης.

[5] Ἔνθα καὶ ἐπιστῆσαι ἄξιον δὶς καταριθμοῦντι αὐτῷ τὸ Ἰωάννου ὄνομα, ὧν τὸν μὲν πρότερον Πέτρῳ καὶ Ἰακώβῳ καὶ Ματθαίῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις συγκαταλέγει, σαφῶς δηλῶν τὸν εὐαγγελιστήν, τὸν δ' ἕτερον Ἰωάννην διαστείλας τὸν λόγον ἑτέροις παρὰ τὸν τῶν 25 ἀποστόλων ἀριθμὸν κατατάσσει προτάξας αὐτοῦ τὸν Ἀριστίωνα, σαφῶς τε αὐτὸν πρεσβύτερον ὀνομάζει. [6] ὡς καὶ διὰ τούτων ἀποδείκνυσθαι τὴν ἱστορίαν ἀληθῆ τῶν δύο κατὰ τὴν Ἀσίαν ὁμωνυμίᾳ κεχρῆσθαι εἰρηκότων, δύο τε ἐν Ἐφέσῳ γενέσθαι μνήματα καὶ ἑκάτερον Ἰωάννου ἔτι νῦν λέγεσθαι. οἷς καὶ ἀναγκαῖον προσέχειν τὸν νοῦν· εἰκὸς γὰρ 30 τὸν δεύτερον, εἰ μή τις ἐθέλοι τὸν πρῶτον, τὴν ἐπ' ὀνόματος φερομένην Ἰωάννου ἀποκάλυψιν ἑορακέναι. [7] καὶ ὁ νῦν δὲ ἡμῖν δηλούμενος Παπίας τοὺς μὲν τῶν ἀποστόλων λόγους παρὰ τῶν αὐτοῖς παρηκολουθηκότων ὁμολογεῖ παρειληφέναι, Ἀριστίωνος δὲ καὶ τοῦ πρεσβυτέρου Ἰωάννου αὐτήκοον ἑαυτόν φησι γενέσθαι. ὀνομαστὶ γοῦν 35 πολλάκις αὐτῶν μνημονεύσας ἐν τοῖς αὐτοῦ συγγράμμασιν τίθησιν αὐτῶν παραδόσεις. καὶ ταῦτα δ' ἡμῖν οὐκ εἰς τὸ ἄχρηστον εἰρήσθω.

[8] Ἄξιον δὲ ταῖς ἀποδοθείσαις τοῦ Παπία φωναῖς προσάψαι λέξεις

ἑτέρας αὐτοῦ, δι' ὧν παράδοξά τινα ἱστορεῖ καὶ ἄλλα, ὡσὰν ἐκ παραδόσεως εἰς αὐτὸν ἐλθόντα. [9] τὸ μὲν οὖν κατὰ τὴν Ἱεράπολιν Φίλιππον τὸν ἀπόστολον ἅμα ταῖς θυγατράσι διατρῖψαι διὰ τῶν πρόσθεν (III, 31) δεδήλωται· ὡς δὲ κατὰ τοὺς αὐτοὺς ὁ Παπίας γεγόμενος, διήγησιν παρειληφέναι θαυμασίαν ὑπὸ τῶν τοῦ Φιλίππου θυγατέρων 5 μνημονεύει τὰ νῦν σημειωτέον. νεκροῦ γὰρ ἀνάστασιν κατ' αὐτὸν γεγονυῖαν ἱστορεῖ καὶ αὖ πάλιν ἕτερον παράδοξον περὶ Ἰοῦστον τὸν ἐπικληθέντα Βαρσαβᾶν γεγονός, ὡς δηλητήριον φάρμακον ἐμπιόντος καὶ μηδὲν ἀδηὲς διὰ τὴν τοῦ κυρίου χάριν ὑπομείναντος. [10] τοῦτον δὲ τὸν Ἰοῦστον μετὰ τὴν τοῦ σωτῆρος ἀνάληψιν τοὺς ἱεροὺς ἀποστό- 10 λους μετὰ Ματθία στῆσαί τε καὶ ἐπεύξασθαι ἀντὶ τοῦ προδότου Ἰούδα ἐπὶ τὸν κλῆρον τῆς ἀναπληρώσεως τοῦ αὐτῶν ἀριθμοῦ ἡ τῶν πράξεων ὧδέ πως ἱστορεῖ γραφή· „καὶ ἔστησαν δύο Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν· καὶ προσευξάμενοι εἶπον". (Act. 1, 23) [11] καὶ ἄλλα δὲ ὁ αὐτὸς ὡσὰν ἐκ παραδόσεως 15 ἀγράφου εἰς αὐτὸν ἥκοντα παρατέθειται, ξένας τέ τινας παραβολὰς τοῦ σωτῆρος καὶ διδασκαλίας αὐτοῦ καὶ τινα ἄλλα μυθικώτερα. [12] ἐν οἷς καὶ χιλιάδα τινά φησιν ἐτῶν ἔσεσθαι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, σωματικῶς τῆς Χριστοῦ βασιλείας ἐπὶ ταυτησὶ τῆς γῆς ὑποστησομένης. ἃ καὶ ἡγοῦμαι τὰς ἀποστολικὰς παρεκδεξάμενον διηγήσεις 20 ὑπολαβεῖν, τὰ ἐν ὑποδείγμασι πρὸς αὐτῶν μυστικῶς εἰρημένα μὴ συνεορακότα. [13] σφόδρα γάρ τοι σμικρὸς ὢν τὸν νοῦν, ὡσὰν ἐκ τῶν αὐτοῦ λόγων τεκμηράμενον εἰπεῖν, φαίνεται· πλὴν καὶ τοῖς μετ' αὐτὸν πλείστοις ὅσοις τῶν ἐκκλησιαστικῶν τῆς ὁμοίας αὐτῷ δόξης παραίτιος γέγονεν, τὴν ἀρχαιότητα τἀνδρὸς προβεβλημένοις, ὥσπερ οὖν Εἰρηναίῳ 25 καὶ εἴ τις ἄλλος τὰ ὅμοια φρονῶν ἀναπέφηνεν. [14] καὶ ἄλλας δὲ τῇ ἰδίᾳ γραφῇ παραδίδωσιν Ἀριστίωνος τοῦ πρόσθεν δεδηλωμένου τῶν τοῦ κυρίου λόγων διηγήσεις καὶ τοῦ πρεσβυτέρου Ἰωάννου παραδόσεις, ἐφ' ἃς τοὺς φιλομαθεῖς ἀναπέμψαντες ἀναγκαίως νῦν προσθήσομεν ταῖς προεκτεθείσαις αὐτοῦ φωναῖς παράδοσιν, ἣν περὶ Μάρκου τοῦ τὸ 30 εὐαγγέλιον γεγραφότος ἐκτέθειται διὰ τούτων·

[15] Καὶ τοῦθ' ὁ πρεσβύτερος ἔλεγεν· Μάρκος μὲν ἑρμηνευτὴς Πέτρου γενόμενος, ὅσα ἐμνημόνευσεν, ἀκριβῶς ἔγραψεν, οὐ μέντοι τάξει, τὰ ὑπὸ τοῦ Χριστοῦ ἢ λεχθέντα ἢ πραχθέντα. οὔτε γὰρ ἤκουσεν τοῦ κυρίου, οὔτε παρηκολούθησεν αὐτῷ, ὕστερον δέ, ὡς 35 ἔφην, Πέτρῳ· ὃς πρὸς τὰς χρείας ἐποιεῖτο τὰς διδασκαλίας, ἀλλ' οὐχ ὥσπερ σύνταξιν τῶν κυριακῶν ποιούμενος λόγων, ὥστε οὐδὲν ἥμαρτεν Μάρκος, οὕτως ἔνια γράψας ὡς ἀπεμνημόνευσεν. ἑνὸς

γὰρ ἐποιήσατο πρόνοιαν, τοῦ μηδὲν ὧν ἤκουσεν παραλιπεῖν ἢ ψεύσασθαί τι ἐν αὐτοῖς.

Ταῦτα μὲν οὖν ἱστόρηται τῷ Παπίᾳ περὶ τοῦ Μάρκου. [16] περὶ δὲ τοῦ Ματθαίου ταῦτ' εἴρηται·

Ματθαῖος μὲν οὖν Ἑβραΐδι διαλέκτῳ τὰ λόγια συνετάξατο, ἡρμήνευσεν δ' αὐτὰ ὡς ἠδύνατο ἕκαστος.

[17] Κέχρηται δ' αὐτὸς μαρτυρίαις ἀπὸ τῆς Ἰωάννου προτέρας ἐπιστολῆς καὶ ἀπὸ τῆς Πέτρου ὁμοίως. ἐκτέθειται δὲ καὶ ἄλλην ἱστορίαν περὶ γυναικὸς ἐπὶ πολλαῖς ἁμαρτίαις διαβληθείσης ἐπὶ τοῦ κυρίου, ἣν τὸ καθ' Ἑβραίους εὐαγγέλιον περιέχει (vgl. Joh. 7, 53—8, 11) [Eusebius, h. e. III, 39].

4. Τοὺς κατὰ θεὸν ἀκακίαν ἀσκοῦντας „παῖδας" ἐκάλουν ὡς καὶ Παπίας δηλοῖ βιβλίῳ πρώτῳ τῶν κυριακῶν ἐξηγήσεων καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν τῷ Παιδαγωγῷ. [Maximus Conf., Schol. in Dionys. Areop., de eccl. hierarch. 2.]

5. Παπίας Ἱεραπόλεως ἐπίσκοπος ἀκουστὴς τοῦ θεολόγου Ἰωάννου γενόμενος, Πολυκάρπου δὲ ἑταῖρος πέντε λόγους κυριακῶν λογίων ἔγραψεν. ἐν οἷς ἀπαρίθμησιν ἀποστόλων ποιούμενος μετὰ Πέτρον καὶ Ἰωάννην, Φίλιππον καὶ Θωμᾶν καὶ Ματθαῖον εἰς μαθητὰς τοῦ κυρίου ἀνέγραψεν Ἀριστίωνα καὶ Ἰωάννην ἕτερον, ὃν καὶ πρεσβύτερον ἐκάλεσεν. ὥς τινας οἴεσθαι ὅτι <τούτου> τοῦ Ἰωάννου εἰσὶν αἱ δύο ἐπιστολαὶ αἱ μικραὶ καὶ καθολικαὶ αἱ ἐξ ὀνόματος Ἰωάννου φερόμεναι, διὰ τὸ τοὺς ἀρχαίους τὴν πρώτην μόνην ἐγκρίνειν. τινὲς δὲ καὶ τὴν ἀποκάλυψιν τούτου πλανηθέντες ἐνόμισαν. καὶ Παπίας δὲ περὶ τὴν χιλιονταετηρίδα σφάλλεται, ἐξ οὗ καὶ Εἰρηναῖος. Παπίας ἐν τῷ δευτέρῳ λόγῳ λέγει, ὅτι Ἰωάννης ὁ θεολόγος καὶ Ἰάκωβος ὁ ἀδελφὸς αὐτοῦ ὑπὸ Ἰουδαίων ἀνῃρέθησαν. Παπίας ὁ εἰρημένος ἱστόρησεν ὡς παραλαβὼν [ἀπὸ τῶν θυγατέρων Φιλίππου, ὅτι Βαρσαβᾶς ὁ καὶ Ἰοῦστος δοκιμαζόμενος ὑπὸ τῶν ἀπίστων ἰὸν ἐχίδνης πιὼν ἐν ὀνόματι τοῦ Χριστοῦ ἀπαθὴς διεφυλάχθη. ἱστορεῖ δὲ καὶ ἄλλα θαύματα καὶ μάλιστα τὸ κατὰ τὴν μητέρα Μαναΐμου τὴν ἐκ νεκρῶν ἀναστᾶσαν· περί <τε> τῶν ὑπὸ τοῦ Χριστοῦ ἐκ νεκρῶν ἀναστάντων, ὅτι ἕως Ἀδριανοῦ ἔζων. [Philippus Sidetes, h. e. Fragm. in Cod. Barocc. 142, vgl. de Boor, Texte u. Unters. V, 2 S. 170.]

6. Μετὰ δὲ Δομετιανὸν ἐβασίλευσε Νέρουας ἔτος ἕν, ὃς ἀνακαλεσάμενος Ἰωάννην ἐκ τῆς νήσου ἀπέλυσεν οἰκεῖν ἐν Ἐφέσῳ. μόνος τότε περιὼν τῷ βίῳ ἐκ τῶν δώδεκα μαθητῶν καὶ συγγραψάμενος τὸ κατ' αὐτὸν εὐαγγέλιον μαρτυρίου κατηξίωται. Παπίας γὰρ ὁ Ἱερα-

πόλεως ἐπίσκοπος, αὐτόπτης τούτου γενόμενος, ἐν τῷ δευτέρῳ λόγῳ τῶν κυριακῶν λογίων φάσκει, ὅτι ὑπὸ Ἰουδαίων ἀνῃρέθη. πληρώσας δηλαδὴ μετὰ τοῦ ἀδελφοῦ τὴν τοῦ Χριστοῦ περὶ αὐτῶν πρόρρησιν καὶ τὴν ἑαυτῶν ὁμολογίαν περὶ τούτου καὶ συγκατάθεσιν· εἰπὼν γὰρ ὁ κύριος (Mc. 10, 38 f.) πρὸς αὐτούς· Δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ πίνω; καὶ κατανευσάντων προθύμως καὶ συνθεμένων· Τὸ ποτήριόν μου, φησίν, πίεσθε καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε. καὶ εἰκότως· ἀδύνατον γὰρ θεὸν ψεύσασθαι. οὕτω δὲ καὶ ὁ πολυμαθὴς Ὠριγένης ἐν τῇ κατὰ Ματθαῖον ἑρμηνείᾳ (XVI, 6) διαβεβαιοῦται, ὡς ὅτι μεμαρτύρηκεν Ἰωάννης ἐπὶ [ἐκ Cod.] τῶν διαδόχων τῶν ἀποστόλων ὑποσημαινάμενος τοῦτο μεμαθηκέναι. [Cod. Coisl. 305 des Georg. Mon., Chron., ed. Muralt p. XVII sq., vgl. Nolte, Theol. Quartalschr. 1862, S. 466 f.]

7. **a.** Papias, Ioannis auditor, Hierapolitanus in Asia episcopus, quinque tantum scripsit uolumina, quae praenotauit: *Explanatio sermonum domini.* in quibus cum se in praefatione asserat non uarias opiniones sequi, sed apostolos habere auctores, ait: *Considerabam quid Andreas, quid Petrus dixissent, quid Philippus, quid Thomas, quid Iacobus, quid Ioannes, quid Matthaeus uel alius quilibet discipulorum domini; quid etiam Aristion* [v. Aristeon, Ariston] *et senior Ioannes, discipuli domini, loquebantur. Non enim tantum mihi libri ad legendum prosunt, quantum uiua uox et usque hodie in suis auctoribus personans.* Ex quo apparet ex ipso catalogo nominum, alium esse Ioannem qui inter apostolos ponitur et alium seniorem Ioannem quem post Aristionem enumerat. Hoc autem dicimus propter superiorem opinionem qua a plerisque rettulimus traditum duas posteriores epistulas Ioannis non apostoli esse, sed presbyteri. Hic dicitur mille annorum iudaicam edidisse δευτέρωσιν. [Hieronymus, de uiris inl. 18 nach Euseb., h. e. III, 39, 1. 2. 6., vgl. o. Nr. 3.]

**b.** Porro Josephi libros et sanctorum Papiae et Polycarpi uolumina falsus ad te rumor pertulit a me esse translata: quia nec otii mei nec uirium est tantas res eadem in alteram linguam exprimere uenustate. [Hieronymus, ep. ad Lucinium 71 (28), 5; I, 434 Vallarsi.]

**c.** Refert Irenaeus . . . Papiae auditoris euangelistae Ioannis discipulus . . . [Hieronymus, Ep. ad Theodoram 75 (29), 3. I, 454 Vallarsi.]

8. Περὶ μέντοι τοῦ θεοπνεύστου τῆς βίβλου (d. Apocalypse) περιττὸν μηκύνειν τὸν λόγον ἡγούμεθα, τῶν μακαρίων Γρηγορίου φημὶ

τοῦ θεολόγου καὶ Κυρίλλου, προσέτι δὲ καὶ τῶν ἀρχαιοτέρων Παπίου, Εἰρηναίου, Μεθοδίου καὶ Ἱππολύτου ταύτῃ προσμαρτυρούντων τὸ ἀξιόπιστον. [Andreas Caesareensis praef. in Apoc. p. 2 ed. Sylburg.]

9. Παπίας δὲ οὕτως ἐπὶ λέξεως· Ἐνίοις δὲ αὐτῶν — δηλαδὴ
5 τῶν πάλαι θείων ἀγγέλων — καὶ τῆς περὶ τὴν γῆν διακοσμήσεως ἔδωκεν ἄρχειν καὶ καλῶς ἄρχειν παρηγγύησε. καὶ ἑξῆς φησίν· Εἰς οὐδὲν δέον συνέβη τελευτῆσαι τὴν τάξιν αὐτῶν. καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος διάβολος καὶ ὁ σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην ἐβλήθη εἰς τὴν γῆν, καὶ οἱ
10 ἄγγελοι αὐτοῦ. (Apoc. 12, 9.) [Andreas Caesar., in Apoc. 34, 12. p. 52 Sylburg.]

10. Λαβόντες τὰς ἀφορμὰς ἐκ Παπίου τοῦ πάνυ τοῦ Ἱεραπολίτου τοῦ [+ ἐν Codd.] τῷ ἐπιστηθίῳ φοιτήσαντος καὶ Κλήμεντος καὶ Πανταίνου τοῦ τῆς Ἀλεξανδρέων ἱερέως καὶ Ἀμμωνίου τοῦ σοφωτάτου,
15 τῶν ἀρχαίων καὶ πρὸ τῶν [πρώτων Codd.] συνόδων ἐξηγητῶν, εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν πᾶσαν τὴν ἑξαήμερον νοησάντων. [Anastas. Sinaita, Hexaemeron I, cf. Pitra, Anal. Sacr. II, 160.]

11. Οἱ μὲν οὖν ἀρχαιότεροι τῶν ἐκκλησιαστικῶν [ἐκκλησιῶν Cod.] ἐξηγητῶν [ἐξηγητικῶν Cod.], λέγω δὴ Φίλων ὁ φιλόσοφος καὶ τῶν
20 ἀποστόλων ὁμόχρονος καὶ Παπίας ὁ πολὺς ὁ Ἰωάννου τοῦ εὐαγγελιστοῦ φοιτητὴς ὁ Ἱεραπολίτης . . . καὶ οἱ ἀμφ' αὐτοὺς πνευματικῶς τὰ περὶ παραδείσου ἐθεώρησαν εἰς τὴν Χριστοῦ ἐκκλησίαν ἀναφερόμενοι. [Anastas. Sinaita, l. c. VII, griechisch bei Massuet, Opera Irenaei, testimonia veterum u. Lequien, Opera Joh. Damasceni I, 174 Note.
25 Vgl. Nolte, Theol. Quartalschr. 1867, 56.]

12. Praedicta itaque benedictio ad tempora regni sine contradictione pertinet, quando regnabunt iusti surgentes a mortuis: quando et creatura renouata et liberata multitudinem fructificabit uniuersae escae ex rore caeli et ex fertilitate terrae: quemadmodum presbyteri
30 meminerunt, qui Ioannem discipulum domini uiderunt, audisse se ab eo, quemadmodum de temporibus illis docebat dominus et dicebat: *Uenient dies, in quibus uineae nascentur, singulae decem* [v. dena] *millia palmitum habentes et in uno palmite dena millia brachiorum et in uno uero brachio* [Codd. palmite] *dena millia flagellorum et in unoquoque*
35 *flagello dena millia botruum et in unoquoque botro dena millia acinorum et unumquodque acinum expressum dabit uigintiquinque metretas uini. Et cum eorum apprehenderit aliquis sanctorum botrum, alius clamabit botrus: Ego melior sum, me sume, per me dominum benedic.* Similiter

et granum tritici decem millia spicarum generaturum et unamquamque spicam habituram decem milia granorum et unumquodque granum quinque bilibres similae clarae mundae: et reliqua autem poma et semina et herbam secundum congruentiam iis consequentem et omnia animalia iis cibis utentia, quae a terra accipiuntur, pacifica consen- 5 tanea inuicem fieri, subiecta hominibus cum omni subiectione.

[4] Ταῦτα δὲ καὶ Παπίας Ἰωάννου μὲν ἀκουστής, Πολυκάρπου δὲ ἑταῖρος γεγονώς, ἀρχαῖος ἀνήρ, ἐγγράφως ἐπιμαρτυρεῖ ἐν τῇ τετάρτῃ τῶν αὐτοῦ βίβλων· ἔστι γὰρ αὐτῷ πέντε βιβλία συντεταγμένα.

Haec autem et Papias Ioannis auditor, Polycarpi autem contubernalis, uetus homo, per scripturam testimonium perhibet in 10 quarto librorum suorum. Sunt enim illi quinque libri conscripti.

Et adiecit dicens: *Haec autem credibilia sunt credentibus. Et Iuda*, inquit, *proditore non credente et interrogante: Quomodo ergo tales geniturae a Domino perficientur?* dixisse dominum: *Uidebunt qui* 15 *uenient in illa.* [V, 33, 3 f.]

13. Ταῦτά φησιν αἰνιττόμενος οἶμαι Παπίαν τὸν Ἱεραπόλεως τῆς κατ' Ἀσίαν τότε γενόμενον ἐπίσκοπον καὶ συνακμάσαντα τῷ θείῳ εὐαγγελιστῇ Ἰωάννῃ. οὗτος γὰρ ὁ Παπίας ἐν τῷ τετάρτῳ αὐτοῦ βιβλίῳ τῶν <λογίων> κυριακῶν ἐξηγήσεων τὰς διὰ βρωμάτων εἶπεν 20 ἐν τῇ ἀναστάσει ἀπολαύσεις .... καὶ Εἰρηναῖος δὲ ὁ Λουγδούνου ἐν τῷ κατὰ αἱρέσεων πέμπτῳ λόγῳ τὸ αὐτό φησι καὶ παράγει μάρτυρα τῶν ὑπ' αὐτοῦ εἰρημένων τὸν λεχθέντα Παπίαν. [Maximus Conf. l. c. c. 7.]

14. Οὐ μὴν ἀλλ' οὐδὲ Παπίαν τὸν Ἱεραπόλεως ἐπίσκοπον καὶ μάρτυρα οὐδὲ Εἰρηναῖον τὸν ὅσιον ἐπίσκοπον Λουγδούνων (sc. ἀπο- 25 δέχεται Στέφανος), ἐν οἷς λέγουσιν αἰσθητῶν τινων βρωμάτων ἀπόλαυσιν εἶναι τὴν τῶν οὐρανῶν βασιλείαν. [Photius, Biblioth. 232.]

15. Ἔτι μὴν καὶ Εἰρηναῖον τὸν Λουγδούνων ἐπίσκοπον καὶ Παπίαν τὸν Ἱεραπόλεως· τὸν μὲν (sc. Methodius) τοῦ μαρτυρίου τὸν στέφανον ἀναδησάμενον, τοὺς δὲ ἄνδρας ὄντας ἀποστολικοὺς καὶ τοὺς 30 τοῦ βίου τρόπους τὸ θαυμάσιον ἐξαστράπτοντας. [Photius, ep. I, 24, 21. (Migne Gr. 102, 813 sq.)]

16. Ἀπολιναρίου· Οὐκ ἀπέθανε τῇ ἀγχόνῃ Ἰούδας, ἀλλ' ἐπεβίω

33 (1.] Catena in Act. ed. Cramer p. 12 sq.; 2.] Theophylact, Comm. in Act. 1, 18 sq.; 3.] Catena in Evang. Mt. et Mc. ed. Cramer p. 231; 4.] Oecumenius in Act. II; 5.] Boissonade, Anecd. gr. II, 464 sq.; 6.] Scholion bei Matthaei zu Act. 1, 18 (verkürzt). — 33 Ἀπολιναρίου om. 2. 4. + ἰστέον ὅτι 3, περὶ τῆς Ἰούδα ἀγχόνης 5 | οὐ γὰρ, om. τῇ ἀγχόνῃ 2 | ὁ Ἰούδας 5, ὁ Ἰούδας

καταιρεθεὶς πρὸ τοῦ ἀποπνιγῆναι. καὶ τοῦτο δηλοῦσιν αἱ τῶν ἀποστόλων πράξεις (1, 18), ὅτι πρηνὴς γενόμενος ἐλάκησε μέσος καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ. τοῦτο δὲ σαφέστερον ἱστορεῖ Παπίας ὁ Ἰωάννου μαθητὴς λέγων οὕτως ἐν τῷ τετάρτῳ τῆς ἐξηγήσεως
5 τῶν κυριακῶν λόγων·

Μέγα δὲ ἀσεβείας ὑπόδειγμα ἐν τούτῳ τῷ κόσμῳ περιεπάτησεν ὁ Ἰούδας πρησθεὶς ἐπὶ τοσοῦτον τὴν σάρκα, ὥστε μηδὲ ὁπόθεν ἅμαξα ῥαδίως διέρχεται ἐκεῖνον δύνασθαι διελθεῖν, ἀλλὰ μηδὲ αὐτὸν μόνον τὸν τῆς κεφαλῆς ὄγκον αὐτοῦ. τὰ μὲν γὰρ βλέφαρα
10 τῶν ὀφθαλμῶν αὐτοῦ φασὶ τοσοῦτον ἐξοιδῆσαι, ὡς αὐτὸν μὲν καθόλου τὸ φῶς μὴ βλέπειν, τοὺς ὀφθαλμοὺς δὲ αὐτοῦ μηδὲ ὑπὸ ἰατρικῆς διόπτρας ὀφθῆναι δύνασθαι· τοσοῦτον βάθος εἶχον ἀπὸ τῆς ἔξωθεν ἐπιφανείας. τὸ δὲ αἰδοῖον αὐτοῦ πάσης μὲν ἀσχημοσύνης ἀηδέστερον καὶ μεῖζον φαίνεσθαι, φέρεσθαι δὲ δι᾽ αὐτοῦ ἐκ
15 παντὸς τοῦ σώματος συρρέοντας ἰχῶράς τε καὶ σκώληκας εἰς ὕβριν δι᾽ αὐτῶν μόνων τῶν ἀναγκαίων· μετὰ πολλὰς δὲ βασάνους καὶ τιμωρίας ἐν ἰδίῳ, φασί, χωρίῳ τελευτήσαντος ἀπὸ τῆς ὀδμῆς ἔρημον καὶ ἀοίκητον τὸ χωρίον μέχρι τῆς νῦν γενέσθαι, ἀλλ᾽ οὐδὲ μέχρι τῆς σήμερον δύνασθαί τινα ἐκεῖνον τὸν τόπον παρελθεῖν,
20 ἐὰν μὴ τὰς ῥῖνας ταῖς χερσὶν ἐπιφράξῃ. τοσαύτη διὰ τῆς σαρκὸς αὐτοῦ καὶ ἐπὶ τῆς γῆς ἔκρυσις ἐχώρησεν.

[Aus Catenen zusammengestellt bei Hilgenfeld, Zeitschr. f. wiss.

vor οὐκ 3. 4 | ἐπεβίωκε 3 | **1** κατενεχθείς 3. 4. 5 | καὶ τοῦτο — **3** σπλάγχνα αὐτοῦ 1. 6, ohne τὰ σπ. α. ἐξεχ. 4. καὶ τοῦτο δηλοῦσιν αἱ τῶν ἀποστόλων πράξεις, ὅτι πρηνὴς γενόμενος ἐλακησε κτέ 3. καθὼς καὶ ἐκ τῶν πράξεων ἔστι μαθεῖν, ὅτι ἐλάκησε μέσος καὶ ἐξεχύθη τὰ ἔγκατα αὐτοῦ 5, der ganze Passus fehlt in 2 | **3** καὶ τοῦτο 3. 4, ἱστορεῖ δὲ καὶ 5 | **4** ὁ μαθητὴς Ἰω. 5 | Ἰωάννου τοῦ ἀποστόλου 3. 4 | λέγων οὕτως am Ende 2, ohne τῆς ἐξηγήσεως 1, λέγων ἐν τῷ δ᾽ αὐτοῦ λόγῳ οὕτως 5, λέγων 3. 4 | **6** δὲ om. 3. 4 5 | ἐν τῷ κόσμῳ τούτῳ 5 | **7** ὁ om. 3. 4. 5 | πρησθεὶς] + γὰρ $3^{1}$. $4^{1}$. ἐπρήσθη γὰρ $3^{2}$. $4^{2}$ | **8** διέρχεται ῥαδίως 2 | ὥστε οὐδὲ ὁπόθεν ἅμαξαν ῥαδίως διέρχεσθαι ἐκεῖνον δύνασθαι διελθεῖν $3^{2}$, ὥστε μὴ δύνασθαι διελθεῖν ἁμάξης ῥαδίως διερχομένης ὑπὸ τῆς ἁμάξης (παισθέντα ἐπιέσθη ὥστε $4^{1}$) τὰ ἔγκατα (+ αὐτοῦ $4^{1}$) ἐκκενωθῆναι (+ ἄλλως $4^{1}$) $3^{1}$. $4^{1}$ | **9** αὐτοῦ om. $3^{2}$. $4^{2}$ | τόν ὄγκον τῆς κεφαλῆς αὐτοῦ 5 | **10** αὐτοῦ τῶν ὀφθαλμῶν $3^{2}$ | **11** καθόλου φασὶ 5 | **12** ἰατρικῆς 2. $3^{2}$. $4^{2}$. 5 ἰατροῦ 1 | **14** ἐκ παντὸς] τοὺς ἐξάπαντα 2 τοὺς ἐξ ἅπαντος 4. 5 | **15** τε om. 3 | **16** δὲ πολλάς 3. 4. 5 | φασι om. 5 | **17** τελευτήσαντα 1. 5, καὶ τοῦτο τελευτήσαντος τοῖς 2 | ἐπὶ 3 | ὀσμῆς] ὁδοῦ 1. 2. 3 | **18** ἐρημόν τε 4. 5 | τοῦ νῦν 5 | **19** τῆς σήμερον] τοῦ νῦν 5, om. τῆς 4 | **20** ἐάν μὴ] ἔνθα ἐτάφη, εἰ μὴ 5 | ἐπισφίξῃ 5 τοσαύτη — **21** ἐχώρησεν om. 3. 4. 5 | **21** ἔκρυσις] κρίσις 2 |

Theol. 1875, S. 262 f., vgl. Zahn, Stud. u. Krit. 1866, S. 684. Overbeck, Zeitschr. f. wiss. Theol. 1867, S. 39 f.].

17. Incipit argumentum secundum Iohannem. Euangelium Iohannis manifestatum et datum est ecclesiis ab Iohanne adhuc in corpore constituto, sicut Papias nomine Hierapolitanus discipulus Iohannis carus, 5 in exotericis [l. exegeticis] id est in extremis [externis?] quinque libris retulit. [Cod. Vat. Alex. lat. 14 sc. IX. Card. Thomasii opera ed. Vezzosi I (Romae 1747), p. 344. Pitra, Anal. Sacra II, 160.]

18. Ὕστατος γὰρ τούτων Ἰωάννης ὁ τῆς βροντῆς υἱὸς μετακληθείς, πάνυ γηραλέου αὐτοῦ γενομένου, ὡς παρέδοσαν ἡμῖν ὅ τε 10 Εἰρηναῖος καὶ Εὐσέβιος καὶ ἄλλοι πιστοὶ κατὰ διαδοχὴν γεγονότες ἱστορικοί, κατ' ἐκεῖνο καιροῦ αἱρέσεων ἀναφυεισῶν δεινῶν ὑπηγόρευσε τὸ εὐαγγέλιον τῷ ἑαυτοῦ μαθητῇ Παπίᾳ εὐβιότῳ τῷ Ἱεραπολίτῃ πρὸς ἀναπλήρωσιν τῶν πρὸ αὐτοῦ κηρυξάντων τὸν λόγον τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἔθνεσιν. [Catena in Ioh. ed. Corderius prooem.] 15

19. Aus Papias schöpft Hippol., Comment. in Daniel. IV, 60 (p. 338 Bonw., vgl. Iren. V, 33, 4): τοῦ οὖν κυρίου διηγουμένου τοῖς μαθηταῖς περὶ τῆς μελλούσης τῶν ἁγίων βασιλείας ὡς εἴη ἔνδοξος καὶ θαυμαστὴ καταπλαγεὶς ὁ Ἰούδας ἐπὶ τοῖς λεγομένοις ἔφη· καὶ τίς ἄρα ὄψεται ταῦτα; ὁ δὲ κύριος ἔφη· ταῦτα ὄψονται οἱ ἄξιοι 20 γενόμενοι. [Zahn, Forschungen VI, 128², vgl. o. S. 97, 13 f.]

[20. „Und als die Türen geschlossen waren, erschien er den Elfen und den anderen, die bei ihnen waren (Lc. 24, 33). Aber die Aloe, die sie brachten, war, wie es heißt, gemischt halb von Öl, halb von Honig. Es ist aber sicher, daß Aloe eine Weihrauchart ist, wie be- 25 richtet wird von dem Geographen (d. h. Moses v. Khorene) und von Papias; denn es gibt 15 Arten von Aloe in Indien und davon sind vier kostbar, nämlich Nikrê, Andrataratz, Ierravor, Dzakokên. Davon war, was Ioseph und Nikodemus zum Begräbnis spendeten. Denn sie waren reich.“ [Vardan, Solutiones in IV Evangelia im Cod. S. Lazzaro 30 51, 3 bei Conybeare, Guardian 1894, July 19.]

## XXIV. DIE PRESBYTER BEI IRENÄUS.

### 1. EIN POET VOR IRENÄUS.

**a.** Καθὼς ὑπὸ τοῦ κρείττονος ἡμῶν εἴρηται ἐπὶ τῶν τοιούτων

| | |
|---|---|
| ὅτι λίθον τὸν τίμιον | lapidem pretiosum 35 |
| σμαράγδον ὄντα [καὶ] πολυτίμητόν | smaragdum magni pretii |
| τισιν | apud quosdam |

| | |
|---|---|
| ὑάλος ἐνυβρίζει [ἐν ὑβρίσματι?] διὰ τέχνης | uitreum in eius contumeliam per artem assimilatum |
| παρομοιουμένη, ὅποταν μὴ παρῇ [ὁ] σθένων δοκιμάσαι καὶ | quoadusque non adest qui potest probare et |
| τέχνην [τέχνῃ Epiph.] διελέγξαι τὴν πανούργως γενομένην· | artificium arguere, quod subdole sit factum. |
| ὅταν δὲ | Cum enim |
| ἐπιμιγῇ | commixtum fuerit |
| ὁ χαλκὸς εἰς τὸν ἄργυρον, τίς εὐχόλως δυνήσεται τοῦτον ἀκέραιος δοκιμάσαι; | aeramentum argento quis facile poterit, rudis cum sit, hoc probare? [I, praef. 2; cf. Epiphan., h. 31, 9]. |

**b.** Καθὼς ὁ κρείσσων ἡμῶν ἔφη περὶ τῶν τοιούτων [+ προφητῶν lat.] ὅτι Τολμηρὸν καὶ ἀναιδὲς [τολμηρὰ καὶ ἀναιδὴς lat.] ψυχὴ κενῷ ἀέρι θερμαινομένη. [I, 13, 3 cf. Epiphanius, h. 34, 2.]

**c.** Διὸ καὶ δικαίως . . . ὁ θεῖος [θεόπνευστος lat.] πρεσβύτης καὶ κήρυξ τῆς ἀληθείας ἐμμέτρως ἐπιβεβόηκέ σοι εἰπὼν οὕτως·

Εἰδωλοποιὲ Μάρκε καὶ τερατόσκοπε
ἀστρολογικῆς ἔμπειρε καὶ μαγικῆς τέχνης
δι' ὧν κρατύνεις τῆς πλάνης τὰ διδάγματα,
σημεῖα δεικνὺς τοῖς ὑπὸ σοῦ πλανωμένοις
ἀποστατικῆς δυνάμεως ἐγχειρήματα,
ἃ σοι χορηγεῖ σὸς πατὴρ Σατὰν ἀεί
δι' ἀγγελικῆς δυνάμεως Ἀζαζὴλ ποιεῖν,
ἔχων σε πρόδρομον ἀντιθέου πανουργίας.

Καὶ ταῦτα μὲν ὁ θεοφιλὴς πρεσβύτης. [I, 15, 6; Epiphan., h. 34, 11.]

**d.** . . . sicut quidam dixit superior nobis de omnibus qui quolibet modo deprauant quae sunt dei et adulterant ueritatem: *in dei lacte gypsum male miscetur* [θεοῦ γάλακτι γύψος μίγνυται κακῶς Zahn]. [III, 17, 4.]

**e.** Nec enim possibile est alicui curare quosdam male habentes, qui ignorat passionem eorum, qui male ualent. Quapropter hi qui ante nos fuerunt et quidem multo nobis meliores non tamen satis potuerunt contradicere his, qui sunt a Ualentino, quia ignorabant regulam ipsorum, quam nos cum omni diligentia in primo libro tibi tradidimus [IV, praef. 2].

## 2. DIE „ALTEN“ DES PAPIAS.

1. Quia autem triginta annorum aetas prima indolis est iuuenis, et extenditur usque ad quadragesimum annum, omnis quilibet confitebitur; a quadragesimo autem et quinquagesimo anno declinat iam in aetatem seniorem, quam habens dominus noster docebat, sicut euangelium

καὶ πάντες οἱ πρεσβύτεροι μαρτυροῦσιν οἱ κατὰ τὴν Ἀσίαν Ἰωάννῃ τῷ τοῦ κυρίου μαθητῇ συμβεβληκότες <αὐτοῖς> παραδεδωκέναι <ταὐτὸ τοῦτο> τὸν Ἰωάννην. παρέμεινεν γὰρ αὐτοῖς μέχρι τῶν Τραϊανοῦ χρόνων.

et omnes seniores testantur, qui in Asia apud Ioannem discipulum domini conuenerunt, id ipsum tradidisse eis Ioannem. Permansit autem cum eis usque ad Traiani tempora.

Quidam autem eorum non solum Ioannem, sed et alios apostolos uiderunt, et haec eadem ab ipsis audierunt et testantur de huiusmodi relatione (näml. daß Jesus nur ein Jahr gepredigt und im 12. Monat gelitten habe) [II, 22, 5].

[2. Propter hoc et in initio transgressionis Adae, sicut enarrat scriptura, non ipsum maledixit Adam, sed terram in operibus eius, quemadmodum ex ueteribus quidam ait: quoniam quidem *transtulit deus maledictum in terram, ut non perseueraret in homine.* [III, 23, 3.]

[3. Ἅπαντα <γὰρ> μέτρῳ καὶ τάξει ὁ θεὸς ποιεῖ καὶ οὐδὲν ἄμετρον παρ᾽ αὐτῷ, ὅτι μηδὲ[ν] ἀναρίθμητον.

Omnia enim mensura et ordine deus facit et nihil non mensum apud eum quoniam nec incompositum.

Et bene qui dixit ipsum immensum patrem in filio mensuratum; mensura enim patris filius, quoniam et capit eum. [IV, 4, 2.]

4. [1] Quemadmodum audiui a quodam presbytero, qui audierat ab his qui apostolos uiderant et ab his qui didicerant; sufficere ueteribus de his, quae sine consilio spiritus egerunt eam quae ex scripturis esset correptionem. Cum enim non sit personarum acceptor deus, quae sunt non secundum eius placitum facta his inferebat congruam correptionem. [Quemadmodum sub Dauid, quando persecutionem quidem patiebatur a Saul propter iustitiam et regem Saul fugiebat et inimicum non ulciscebatur et Christi aduentum psallebat et sapientia instruebat gentes et omnia secundum consilium faciebat spiritus, placebat deo. quando autem propter concupiscentiam ipse sibi accepit Bersabee Uriae uxorem, dixit scriptura (2 Sa. 11, 27) de eo: Nequam autem uisus est sermo, quem fecit

Dauid in oculis domini. et mittitur ad eum Nathan propheta ostendens ei peccatum eius, ut ipse dans sententiam de semetipso et semetipsum adiudicans misericordiam consequeretur et remissionem a Christo .... similiter autem et de Salomone, cum perseueraret iudi-
5 care recte et sapientiam enarrare et typum ueri templi aedificabat, et glorias exponebat dei et aduenturam pacem gentibus annuntiabat et Christi regnum praefigurabat et loquebatur tria millia parabolarum in aduentum domini ... et placebat deo ...] cum autem uxores accipiebat ab uniuersis gentibus et permittebat eis erigere idola in Israel
10 sufficienter increpauit eum scriptura, sicut dixit presbyter, ut non glorietur uniuersa caro in conspectu domini.

[2] Et propter hoc dominum in ea quae sunt sub terra descendisse euangelizantem et illis aduentum suum, remissione peccatorum existente his qui credunt in eum. [crediderunt autem in eum omnes qui spe-
15 rabant in eum, id est qui aduentum eius praenuntiauerunt et dispositionibus eius seruierunt, iusti et prophetae et patriarchae, quibus similiter ut nobis remisit peccata, quae non oportet nos imputare his, si quominus contemnimus gratiam domini. quemadmodum enim illi non imputabant nobis incontinentias nostras, quas operati sumus,
20 priusquam Christus in nobis manifestaretur, sic et nos non est iustum imputare ante aduentum Christi his, qui peccauerunt. „Omnes" enim „homines egent gloria dei" (Rö. 3, 23), iustificantur autem non a semetipsis, sed a domini aduentu qui intendunt lumen eius.] In nostram autem correptionem conscriptos esse actus eorum, ut
25 sciremus primum quidem, quoniam unus est deus noster et illorum, cui non placeant peccata etiamsi a claris fiant; deinde ut abstineamus a malis. [Si enim hi qui praecesserunt nos in charismatibus ueteres, propter quos nondum filius dei passus erat, delinquentes in aliquo et concupiscentiae carnis seruientes tali affecti sunt ignominia: quid
30 passuri sunt qui nunc sunt, qui contempserunt aduentum domini et deseruierunt uoluptatibus suis? Et illis quidem curatio et remissio peccatorum mors domini fuit; propter eos uero qui nunc peccant, Christus non iam morietur; iam enim mors non dominabitur eius. Sed ueniet filius in gloria patris exquirens (vgl. Mt. 25, 14 ff.) ab
35 actoribus et dispensatoribus suis pecuniam, quam eis credidit, cum usuris; et quibus plurimum dedit, plurimum ab eis exiget.] Non debemus ergo, inquit ille senior, superbi esse, neque reprehendere ueteres; sed ipsi timere, ne forte post agnitionem Christi agentes

aliquid quod non placeat deo, remissionem ultra non habeamus delictorum, sed excludamur a regno eius. Et ideo Paulum (Rö. 11, 21. 17) dixisse: „Si enim naturalibus ramis non pepercit, ne forte nec tibi parcat, qui cum esses oleaster, insertus es in pinguedinem oliuae et socius factus es pinguedinis eius.“ 5

[3] Similiter et plebis praeuaricationes uides descriptas esse non propter illos qui tunc transgrediebantur, sed in correptionem nostram et ut sciremus unum et eundem deum, in quem illi delinquebant, et in quem nunc delinquunt quidam ex his qui credidisse dicuntur. Et hoc autem apostolum in epistula, quae est ad Corinthios (10, 1 ff.), 10 manifestissime ostendisse dicentem: „Nolo enim uos ignorare, fratres, quoniam patres nostri omnes sub nube fuerunt et omnes in Mose baptizati sunt in nube et in mari, omnes eandem escam spiritalem manducauerunt et omnes eundem potum spiritalem biberunt; bibebant autem de spiritali consequente eos petra; petra autem erat Christus. 15 Sed non in pluribus eorum bene sensit deus; prostrati sunt enim in deserto. Haec in figuram nostri fuerunt, ut non simus concupiscentes malorum, quemadmodum et illi concupierunt; neque idololatrae sitis, quemadmodum quidam eorum: sicut scriptum est: Sedit populus manducare et bibere et surrexerunt ludere. Neque fornicemur, sicut 20 quidam ex illis fornicati sunt et corruerunt una die uiginti tria millia. Nec tentemus Christum, quemadmodum quidam eorum tentauerunt et a serpentibus perierunt. Neque murmuraueritis sicut quidam eorum murmurauerunt et perierunt ab exterminatore. Haec autem omnia in figura fiebant illis; scripta sunt autem ad correptionem nostram, in 25 quos finis saeculorum deuenit. Quapropter qui putat se stare, uideat ne cadat.“

[[4] Sine dubitatione igitur et sine contradictione ostendente apostolo, unum et eundem esse deum, qui et illa iudicauit et ea, quae nunc sunt, exquirit, et causam descriptionis eorum demonstrante; in- 30 docti et audaces, adhuc etiam imprudentes inueniuntur omnes qui propter transgressionem eorum, qui olim fuerunt, et propter plurimorum indicto audientiam, alterum quidem aiunt illorum fuisse deum, et hunc esse mundi fabricatorem et esse in diminutione; alterum uero a Christo traditum patrem et hunc esse qui sit ab unoquoque eorum 35 mente conceptus: non intelligentes, quoniam quemadmodum ibi in pluribus eorum, qui peccauerunt, non bene sensit deus . . . (Mt. 20, 16. 25, 41. 1. Cor. 6, 9 ff. Mt. 18, 8 f. 1. Cor. 5, 11.

Eph. 5, 6 f. 1. Cor. 5, 6. Rö. 1, 18. Lc. 18, 7 f. 2. Thess. 1, 6 ff. folgen).]

XXVIII 1 Cum ergo hic et illic eadem sit in uindicando deo iustitia dei, et illic quidem typice et temporaliter et mediocrius, hic
5 uero uere et semper et austerius; — ignis enim aeternus et quae a caelo reuelabitur ira dei a facie domini nostri, (quemadmodum et Dauid ait [Ps. 33, 17]: Vultus autem domini super facientes mala, ut perdat de terra memoriam illorum) maiorem poenam praestat iis qui incidunt in eam: ualde insensatos ostendebant presbyteri [osten-
10 debat presbyter ältere Ausgaben] eos, qui ex his quae acciderunt his, qui olim deo <non> obtemperabant, tentant alterum patrem introducere; e contrario opponentes quanta dominus ad saluandos eos, qui receperunt eum, ueniens fecisset, miserans eorum; tacentes autem de iudicio eius et quaecunque prouenient his, qui audierunt sermones eius et non
15 fecerunt. et quoniam expediebat eis, si non essent nati, et quoniam tolerabilius Sodomae et Gomorrae erit in iudicio, quam ciuitati illi quae non recepit sermones discipulorum eius (Lc. 10, 12). [IV, 27, 1—28, 1.]

5. [1] Qui uero exprobrant et imputant, quod profecturus populus
20 iussu dei uascula omnis generis et uestimenta acceperit ab Aegyptiis et sic abierit, ex quibus et tabernaculum factum est in eremo, ignorantes iustificationes dei et dispositiones eius, semetipsos arguunt, sicut et presbyter dicebat. Si enim non in typica profectione hoc consensisset deus, hodie in uera nostra profectione, id est in fide, in
25 qua sumus constituti, per quam de numero gentilium exemti sumus, nemo poterat saluari. Omnes enim nos aut modica aut grandis sequitur possessio, quam ex mammona iniquitatis acquisiuimus. Unde enim domus, in quibus habitamus, et uestimenta, quibus induimur, et uasa, quibus utimur, et reliqua omnis ad diuturnam uitam nostram
30 ministratio, nisi ex his, quae, cum ethnici essemus, de auaritia acquisiuimus, uel ab ethnicis parentibus aut cognatis aut amicis de iniustitia acquirentibus percepimus? ut non dicamus, quia et nunc in fide existentes acquirimus. Quis enim uendit et non lucrari uult ab eo, qui emit? Quis autem emit et non uult utiliter secum agi ab eo, qui
35 uendit? Quis autem negotians non propterea negotiatur, ut inde alatur? Quid autem et hi, qui in regali aula sunt, fideles, nonne ex iis, quae Caesaris sunt, habent utensilia, et his, qui non habent, unusquisque eorum secundum uirtutem suam praestat? Aegyptii populi

erant debitores non solum rerum, sed et uitae suae propter patriarchae Ioseph praecedentem benignitatem; nobis autem secundum quid debitores sunt ethnici, a quibus et lucra et utilitates percipimus? quaecunque illi cum labore comparant, his nos, in fide cum simus, sine labore utimur. . . . 5

Necessarie igitur haec in typo praemeditabantur et tabernaculum dei ex his fabricatur: illis quidem iuste accipientibus, quemadmodum ostendimus; nobis autem praeostensis, qui inciperemus per aliena deo deseruire. Uniuersa enim quae ex Aegypto profectio fiebat populi a deo, typus et imago fuit profectionis ecclesiae, quae erat futura ex 10 gentibus: propter hoc et in fine educens eam hinc in suam haereditatem, quam non Moyses quidem famulus dei, sed Iesus filius dei in haereditatem dabit. Si quis autem diligentius intendat his, quae a prophetis dicuntur de fine, et quaecunque Ioannes discipulus domini uidit in apocalypsi, inueniet easdem plagas uniuersaliter accipere gentes, 15 quas tunc particulatim accepit Aegyptus. [IV, 30, 1. 4.]

Talia quaedam enarrans de antiquis presbyter reficiebat nos et dicebat: de eisdem delictis, de quibus ipsae scripturae increpabant patriarchas et prophetas, nos non oportere exprobrare eis, neque fieri similes Cham, qui irrisit turpitudinem patris sui et in maledictionem 20 decidit; sed gratias agere pro illis deo, quoniam in aduentu domini nostri remissa sunt eis peccata: etenim illos dicebat gratias agere et glorificari in nostra salute. De quibus autem scripturae non increpant, sed simpliciter sunt positae, nos non debere fieri accusatores — non enim sumus diligentiores deo, neque super magistrum possumus esse 25 — sed typum quaerere. Nihil enim otiosum est eorum, quaecunque inaccusabilia posita sunt in scripturis. . . . [IV, 31, 1.]

6. Huiusmodi quoque de duobus testamentis senior apostolorum discipulus disputabat, ab uno quidem et eodem deo utraque ostendens: nec esse alterum deum praeter unum [v. eum], qui fecit 30 et plasmauit nos; nec firmitatem habere sermonem eorum, qui dicunt aut per angelos aut per quamlibet uirtutem aut ab alio deo factum esse hunc mundum, qui est secundum nos. Si enim semel quis transmoueatur a factore omnium, et concedat ab aliquo altero aut per alium factam conditionem, quae est secundum nos, multam incon- 35 gruentiam et plurimas contradictiones necesse est incidat huiusmodi; ad quas nullas dabit rationes, neque secundum uerisimile, neque secundum ueritatem. Et propter hoc hi, qui alias doctrinas inferunt,

abscondunt a nobis quam habent ipsi de deo sententiam; scientes, quassum et futile doctrinae suae, et timentes, ne victi saluari periclitentur. (IV, 32, 1.]

7. Filius enim, quemadmodum et quidam ante nos dixit, dupliciter intelligitur: alius quidem secundum naturam, eo quod natus sit filius; alius autem secundum id, quod factus est, reputatur filius licet sit differentia inter natum et factum. [IV, 41, 2.]

8. Ποῦ οὖν ἐτέθη ὁ πρῶτος ἄνθρωπος; ἐν [+ τῷ v.] παραδείσῳ δηλονότι, καθὼς γέγραπται: <καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἔδεν πρὸς ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν>. καὶ ἐκεῖθεν ἐξεβλήθη εἰς τόνδε τὸν κόσμον παρακούσας. διὸ καὶ λέγουσιν οἱ πρεσβύτεροι <οἱ> τῶν ἀποστόλων μαθηταὶ τοὺς μεταθέντας ἐκεῖσε μετατεθῆναι. δικαίοις γὰρ ἀνθρώποις καὶ πνευματοφόροις ἡτοιμάσθη ὁ παράδεισος, ἐν ᾧ καὶ Παῦλος ὁ ἀπόστολος εἰσκομισθεὶς ἤκουσε ῥήματα ἄρρητα ὡς πρὸς ἡμᾶς ἐν τῷ παρόντι, κἀκεῖ μένειν τοὺς μετατεθέντας ἕως συντελείας, προοιμιαζομένους [v. παροιμιαζομένους, coauspicantes lat.] τὴν ἀφθαρσίαν [V, 5, 1; cf. Johannes Damasc., S. Parall. S. 72 f. Holl.]

5. Ἐπεὶ γὰρ διὰ ξύλου ἀπεβάλομεν αὐτὸν [sc. λόγον], διὰ ξύλου πάλιν φανερὸν τοῖς πᾶσιν ἐγένετο, ἐπιδεικνύων τὸ μῆκος καὶ ὕψος καὶ βάθος καὶ πλάτος [τὸ ὕψος καὶ μῆκος καὶ πλάτος lat.] ἐν ἑαυτῷ καὶ ὡς ἔφη τις τῶν προβεβηκότων, διὰ τῆς [θείας] ἐκτάσεως τῶν χειρῶν τοὺς δύο λαοὺς εἰς ἕνα θεὸν συνάγων. [V, 17, 4; cf. Coislin. 211.]

10. Τούτων δὲ οὕτως ἐχόντων καὶ ἐν πᾶσι τοῖς σπουδαίοις καὶ ἀρχαίοις ἀντιγράφοις τοῦ ἀριθμοῦ τούτου κειμένου καὶ μαρτυρούντων αὐτῶν ἐκείνων τῶν κατ' ὄψιν τὸν Ἰωάννην ἑωρακότων καὶ τοῦ λόγου διδάσκοντος ἡμᾶς, ὅτι ὁ ἀριθμὸς τοῦ ὀνόματος τοῦ θηρίου ἐκείνου κατὰ τὴν τῶν Ἑλλήνων ψῆφον διὰ τῶν ἐν αὐτῷ γραμμάτων <ἑξακοσίους ἕξει καὶ ἑξήκοντα καὶ ἕξ, τουτέστιν δεκάδας ὁμοίας ἑκατοντάσιν καὶ ἑκατοντάδας ὁμοίας μονάσιν> . . . οὐκ οἶδα πῶς ἐσφάλησάν τινες ἐπακολουθήσαντες ἰδιωτισμῷ καὶ τὸν μέσον ἠθέτησαν ἀριθμὸν τοῦ ὀνόματος πεντήκοντα ψήφους ὑφελόντες καὶ ἀντὶ τῶν ἓξ δεκάδων μίαν δεκάδα βουλόμενοι εἶναι. [V, 30, 1.; vgl. Euseb., h. e. V, 8, 5. Joh. Damasc., S. Parall. S. 80 Holl.]

11. . . . quaemadmodum presbyteri meminerunt, qui Joannem discipulum domini uiderunt, audisse se ab eo, quemadmodum de temporibus illis docebat dominus et dicebat (cf. Papias Nr. 11) [V, 33, 3].

12. <Καὶ> ὡς οἱ πρεσβύτεροι λέγουσι τότε καὶ οἱ μὲν καταξιωθέντες τῆς ἐν οὐρανῷ [τῶν οὐρανῶν lat.] διατριβῆς, ἐκεῖσε χωρήσουσιν [τουτέστι εἰς οὐρανούς + lat.], οἱ δὲ τῆς τοῦ παραδείσου τρυφῆς ἀπολαύσουσιν· οἱ δὲ τὴν λαμπρότητα τῆς πόλεως καθέξουσι· πανταχοῦ γὰρ ὁ σωτὴρ [θεὸς lat.] ὁραθήσεται καθὼς ἄξιοι ἔσονται οἱ ὁρῶντες αὐτόν. ² εἶναι δὲ τὴν διαστολὴν ταύτην τῆς οἰκήσεως τῶν τὰ ἑκατὸν καρποφορούντων καὶ τῶν τὰ ἑξήκοντα καὶ τῶν τὰ τριάκοντα· ὧν οἱ μὲν εἰς τοὺς οὐρανοὺς ἀναληφθήσονται, οἱ δὲ ἐν τῷ παραδείσῳ διατρίψουσιν, οἱ δὲ τὴν πόλιν κατοικήσουσιν. καὶ διὰ τοῦτο εἰρηκέναι τὸν κύριον (Joh. 14, 2 ff.) ἐν τοῖς τοῦ πατρός μου μονὰς εἶναι πολλάς· τὰ πάντα γὰρ τοῦ θεοῦ, ὃς τοῖς πᾶσι τὴν ἁρμόζουσαν οἴκησιν παρέχει, quemadmodum uerbum eius ait, omnibus diuisum esse a patre secundum quod quis est dignus aut erit. Et hoc est triclinium in quo recumbent ii, qui epulantur uocati ad nuptias (Mt. 22, 2 ff.). Hanc esse adordinationem et dispositionem eorum, qui saluantur, dicunt presbyteri, apostolorum discipuli, et per huiusmodi gradus proficere et per spiritum quidem <ad> filium, per filium autem ascendere ad patrem. filio deinceps cedente patri opus suum, quemadmodum et ab apostolo dictum est (1 Cor. 15, 25 f.) quoniam Oportet regnare eum, quoadusque ponat omnes inimicos sub pedibus eius. Nouissima inimica destruetur mors. [V, 36, 1 f. cf. Anastasius Sin., app. ad Quaestiones in S. Script. 74.]

## XXV. DIE FRAGMENTE DES HEGESIPPUS.

1. Ἔτι δὲ ὁ αὐτὸς [Hegesipp] καὶ τὰς πάλαι γεγενημένας παρὰ Ἰουδαίοις αἱρέσεις ἱστορεῖ λέγων·

Ἦσαν δὲ γνῶμαι διάφοροι ἐν τῇ περιτομῇ, ἐν υἱοῖς Ἰσραηλιτῶν κατὰ τῆς φυλῆς Ἰούδα καὶ τοῦ Χριστοῦ αὗται· Ἐσσαῖοι, Γαλιλαῖοι, Ἡμεροβαπτισταί, Μασβώθεοι, Σαμαρεῖται, Σαδδουκαῖοι, Φαρισαῖοι. [Eusebius, h. e. IV, 22, 6.]

2. ³ Τὸν δὲ τῆς τοῦ Ἰακώβου τελευτῆς τρόπον ἤδη μὲν πρότερον αἱ παρατεθεῖσαι τοῦ Κλήμεντος φωναὶ (s. II, 1, 4 aus Clem., hypotyp. VII) δεδηλώκασιν, ἀπὸ τοῦ πτερυγίου βεβλῆσθαι ξύλῳ τε τὴν πρὸς θάνατον πεπλῆχθαι αὐτὸν ἱστορηκότος· ἀκριβέστατά γε μὴν τὰ κατ' αὐτὸν ὁ Ἡγήσιππος ἐπὶ τῆς πρώτης τῶν ἀποστόλων γενόμενος διαδοχῆς ἐν τῷ πέμπτῳ αὐτοῦ ὑπομνήματι τοῦτον λέγων ἱστορεῖ τὸν τρόπον·

[4] Διαδέχεται δὲ τὴν ἐκκλησίαν μετὰ τῶν ἀποστόλων ὁ ἀδελφὸς τοῦ κυρίου Ἰάκωβος, ὁ ὀνομασθεὶς ὑπὸ πάντων δίκαιος ἀπὸ τῶν τοῦ κυρίου χρόνων μέχρι καὶ ἡμῶν, ἐπεὶ πολλοὶ Ἰάκωβοι ἐκαλοῦντο. [5] οὗτος δὲ ἐκ κοιλίας μητρὸς αὐτοῦ ἅγιος ἦν, οἶνον
5 καὶ σίκερα οὐκ ἔπιεν οὐδὲ ἔμψυχον ἔφαγε, ξυρὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀνέβη, ἔλαιον οὐκ ἠλείψατο, καὶ βαλανείῳ οὐκ ἐχρήσατο. [6] τούτῳ μόνῳ ἐξῆν εἰς τὰ ἅγια εἰσιέναι· οὐδὲ γὰρ ἐρεοῦν ἐφόρει, ἀλλὰ σινδόνας. καὶ μόνος εἰσήρχετο εἰς τὸν ναὸν ηὑρίσκετό τε κείμενος ἐπὶ τοῖς γόνασιν καὶ αἰτούμενος ὑπὲρ τοῦ λαοῦ ἄφεσιν,
10 ὡς ἀπεσκληκέναι τὰ γόνατα αὐτοῦ δίκην καμήλου, διὰ τὸ ἀεὶ κάμπτειν ἐπὶ γόνυ προσκυνοῦντα τῷ θεῷ καὶ αἰτεῖσθαι ἄφεσιν τῷ λαῷ. [7] διά γέ τοι τὴν ὑπερβολὴν τῆς δικαιοσύνης αὐτοῦ ἐκαλεῖτο ὁ δίκαιος καὶ ὠβλίας, ὅ ἐστιν ἑλληνιστὶ περιοχὴ τοῦ λαοῦ, καὶ δικαιοσύνη, ὡς οἱ προφῆται δηλοῦσιν περὶ αὐτοῦ. [8] τινὲς οὖν
15 τῶν ἑπτὰ αἱρέσεων τῶν ἐν τῷ λαῷ τῶν προγεγραμμένων μοι (ἐν τοῖς Ὑπομνήμασιν). ἐπυνθάνοντο αὐτοῦ, τίς ἡ θύρα τοῦ Ἰησοῦ, καὶ ἔλεγεν τοῦτον εἶναι τὸν σωτῆρα· ἐξ ὧν τινες ἐπίστευσαν, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός. [9] αἱ δὲ αἱρέσεις αἱ προειρημέναι οὐκ ἐπίστευον οὔτε ἀνάστασιν οὔτε ἐρχόμενον ἀποδοῦναι ἑκάστῳ κατὰ
20 τὰ ἔργα αὐτοῦ· ὅσοι δὲ καὶ ἐπίστευσαν, διὰ Ἰάκωβον. [10] πολλῶν οὖν καὶ τῶν ἀρχόντων πιστευόντων, ἦν θόρυβος τῶν Ἰουδαίων καὶ γραμματέων καὶ Φαρισαίων λεγόντων, ὅτι κινδυνεύει πᾶς ὁ λαὸς Ἰησοῦν τὸν Χριστὸν προσδοκᾶν. ἔλεγον οὖν συνελθόντες τῷ Ἰακώβῳ· „παρακαλοῦμέν σε, ἐπίσχες τὸν λαόν· ἐπεὶ ἐπλανήθη
25 εἰς Ἰησοῦν, ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ. παρακαλοῦμέν σε πεῖσαι πάντας τοὺς ἐλθόντας εἰς τὴν ἡμέραν τοῦ πάσχα περὶ Ἰησοῦ· σοὶ γὰρ πάντες πειθόμεθα. ἡμεῖς γὰρ μαρτυροῦμέν σοι καὶ πᾶς ὁ λαός, ὅτι δίκαιος εἶ καὶ ὅτι πρόσωπον οὐ λαμβάνεις. [11] πεῖσον οὖν σὺ τὸν ὄχλον περὶ Ἰησοῦ μὴ πλανᾶσθαι· καὶ γὰρ πᾶς ὁ λαὸς
30 καὶ πάντες πειθόμεθά σοι. στῆθι οὖν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, ἵνα ἄνωθεν ᾖς ἐπιφανὴς καὶ ᾖ εὐάκουστά σου τὰ ῥήματα παντὶ τῷ λαῷ. διὰ γὰρ τὸ πάσχα συνεληλύθασι πᾶσαι αἱ φυλαὶ μετὰ καὶ τῶν ἐθνῶν.“ [12] ἔστησαν οὖν οἱ προειρημένοι γραμματεῖς καὶ Φαρισαῖοι τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον τοῦ ναοῦ καὶ ἔκραξαν
35 αὐτῷ καὶ εἶπαν· „δίκαιε, ᾧ πάντες πείθεσθαι ὀφείλομεν, ἐπεὶ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρωθέντος, ἀπάγγειλον ἡμῖν τίς ἡ θύρα τοῦ Ἰησοῦ.“ [13] καὶ ἀπεκρίνατο φωνῇ μεγάλῃ· „τί με ἐπερωτᾶτε περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου; καὶ αὐτὸς κάθηται

ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.“ [14] καὶ πολλῶν πληροφορηθέντων καὶ δοξαζόντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου καὶ λεγόντων „Ὡσαννὰ τῷ υἱῷ Δαυίδ“, τότε πάλιν οἱ αὐτοὶ γραμματεῖς καὶ Φαρισαῖοι πρὸς ἀλλήλους ἔλεγον· „κακῶς ἐποιήσαμεν τοιαύτην 5 μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ· ἀλλὰ ἀναβάντες καταβάλωμεν αὐτόν, ἵνα φοβηθέντες μὴ πιστεύσωσιν αὐτῷ.“ [15] καὶ ἔκραξαν λέγοντες· „ὢ ὤ, καὶ ὁ δίκαιος ἐπλανήθη,“ καὶ ἐπλήρωσαν τὴν γραφὴν τὴν ἐν τῷ Ἡσαίᾳ (3, 10) γεγραμμένην· „Ἄρωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν· τοίνυν τὰ γενήματα τῶν ἔργων αὐτῶν 10 φάγονται.“ [16] ἀναβάντες οὖν κατέβαλον τὸν δίκαιον καὶ ἔλεγον ἀλλήλοις· „λιθάσωμεν Ἰάκωβον τὸν δίκαιον“, καὶ ἤρξαντο λιθάζειν αὐτόν, ἐπεὶ καταβληθεὶς οὐκ ἀπέθανεν· ἀλλὰ στραφεὶς ἔθηκε τὰ γόνατα λέγων· „παρακαλῶ κύριε θεὲ πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασιν τί ποιοῦσιν. [17] οὕτως δὲ καταλιθοβολούντων αὐτὸν εἷς 15 τῶν ἱερέων τῶν [υἱῶν Ῥηχὰβ υἱοῦ] Ῥαχαβείμ, τῶν μαρτυρουμένων ὑπὸ Ἱερεμίου τοῦ προφήτου (c. 35) ἔκραζεν λέγων· „παύσασθε· τί ποιεῖτε; εὔχεται ὑπὲρ ὑμῶν ὁ δίκαιος.“ [18] καὶ λαβών τις ἀπ' αὐτῶν εἷς τῶν γναφέων, τὸ ξύλον, ἐν ᾧ ἀποπιέζει τὰ ἱμάτια, ἤνεγκεν κατὰ τῆς κεφαλῆς τοῦ δικαίου, καὶ οὕτως ἐμαρτύρησεν. 20 καὶ ἔθαψαν αὐτὸν ἐπὶ τῷ τόπῳ παρὰ τῷ ναῷ, καὶ ἔτι αὐτοῦ ἡ στήλη μένει παρὰ τῷ ναῷ. μάρτυς οὗτος ἀληθὴς Ἰουδαίοις τε καὶ Ἕλλησιν γεγένηται, ὅτι Ἰησοῦς ὁ Χριστός ἐστιν. καὶ εὐθὺς Οὐεσπασιανὸς πολιορκεῖ αὐτούς.“

[19] Ταῦτα διὰ πλάτους συνῳδά γέ <τοι> τῷ Κλήμεντι καὶ ὁ Ἡγήσιπ- 25 πος. [Euseb., h. e. II, 23, 3—19.]

3 a. Μετὰ τὴν Ἰακώβου μαρτυρίαν καὶ τὴν αὐτίκα γενομένην ἅλωσιν τῆς Ἱερουσαλὴμ λόγος κατέχει τῶν ἀποστόλων καὶ τῶν τοῦ κυρίου μαθητῶν τοὺς εἰς ἔτι τῷ βίῳ λειπομένους ἐπὶ ταὐτὸν πανταχόθεν συνελθεῖν ἅμα τοῖς πρὸς γένους κατὰ σάρκα τοῦ κυρίου (πλείους 30 γὰρ καὶ τούτων περιῆσαν εἰς ἔτι τότε τῷ βίῳ), βουλήν τε ὁμοῦ τοὺς πάντας περὶ τοῦ τίνα χρὴ τῆς Ἰακώβου διαδοχῆς ἐπικρῖναι ἄξιον, ποιήσασθαι, καὶ δὴ ἀπὸ μιᾶς γνώμης τοὺς πάντας Συμεῶνα τὸν τοῦ Κλωπᾶ, οὗ καὶ ἡ τοῦ εὐαγγελίου μνημονεύει γραφή, τοῦ τῆς αὐτόθι παροικίας θρόνου ἄξιον εἶναι δοκιμάσαι, ἀνεψιόν, ὥς γέ φασι, γεγονότα 35 τοῦ σωτῆρος (τὸν γὰρ οὖν Κλωπᾶν ἀδελφὸν τοῦ Ἰωσὴφ ὑπάρχειν Ἡγήσιππος ἱστορεῖ)· 12. καὶ ἐπὶ τούτοις Οὐεσπασιανὸν μετὰ τὴν τῶν Ἱεροσολύμων ἅλωσιν πάντας τοὺς ἀπὸ γένους Δαυίδ, ὡς μὴ

περιληφθείη τις παρὰ Ἰουδαίοις τῶν ἀπὸ τῆς βασιλικῆς φυλῆς, ἀναζητεῖσθαι προστάξαι, μέγιστόν τε Ἰουδαίοις αὖθις ἐκ ταύτης διωγμὸν ἐπαρτηθῆναι τῆς αἰτίας. [Eusebius, h. e. III, 11 f.]

**b.** [4] Ὁ δ' αὐτὸς καὶ τῶν κατ' αὐτὸν αἱρέσεων τὰς ἀρχὰς ὑπο-
5 τίθεται διὰ τούτων·

Καὶ μετὰ τὸ μαρτυρῆσαι Ἰάκωβον τὸν δίκαιον, ὡς καὶ ὁ κύριος ἐπὶ τῷ αὐτῷ λόγῳ πάλιν ὁ ἐκ θείου αὐτοῦ Συμεὼν ὁ τοῦ Κλωπᾶ καθίσταται ἐπίσκοπος, ὃν προέθεντο πάντες, ὄντα ἀνεψιὸν τοῦ κυρίου δεύτερον. διὰ τοῦτο ἐκάλουν τὴν ἐκκλησίαν παρθένον,
10 οὔπω γὰρ ἔφθαρτο ἀκοαῖς ματαίαις· [5] ἄρχεται δὲ ὁ Θέβουθις διὰ τὸ μὴ γενέσθαι αὐτὸν ἐπίσκοπον ὑποφθείρειν ἀπὸ τῶν ἑπτὰ αἱρέσεων, ὧν καὶ αὐτὸς ἦν, ἐν τῷ λαῷ, ἀφ' ὧν Σίμων, ὅθεν Σιμωνιανοί, καὶ Κλεόβιος, ὅθεν Κλεοβιηνοί, καὶ Δοσίθεος, ὅθεν Δοσιθιανοί, καὶ Γορθαῖος, ὅθεν Γοραθηνοί, καὶ Μασβωθεοί· ἀπὸ τούτων Μεναν-
15 δριανισταὶ καὶ Μαρκιονισταὶ καὶ Καρποκρατιανοὶ καὶ Οὐαλεντινιανοὶ καὶ Βασιλειδιανοὶ καὶ Σατορνιλιανοὶ ἕκαστος ἰδίως καὶ ἑτεροίως ἰδίαν δόξαν παρεισηγάγοσαν. [6] ἀπὸ τούτων ψευδόχριστοι, ψευδοπροφῆται, ψευδαπόστολοι, οἵτινες ἐμέρισαν τὴν ἕνωσιν τῆς ἐκκλησίας φθοριμαίοις λόγοις κατὰ τοῦ θεοῦ καὶ κατὰ τοῦ Χριστοῦ
20 αὐτοῦ. [Eusebius, h. e. IV, 22, 4—6.]

4. **a.** Τοῦ δ' αὐτοῦ Δομετιανοῦ τοὺς ἀπὸ γένους Δαυὶδ ἀναιρεῖσθαι προστάξαντος, παλαιὸς κατέχει λόγος τῶν αἱρετικῶν τινας κατηγορῆσαι τῶν ἀπογόνων Ἰούδα (τοῦτον δ' εἶναι ἀδελφὸν κατὰ σάρκα τοῦ σωτῆρος) ὡς ἀπὸ γένους τυγχανόντων Δαυὶδ καὶ ὡς αὐτοῦ συγγένειαν
25 τοῦ Χριστοῦ φερόντων. ταῦτα δὲ δηλοῖ κατὰ λέξιν ὧδέ πως λέγων ὁ Ἡγήσιππος·

(20) Ἔτι δὲ περιῆσαν οἱ ἀπὸ γένους τοῦ κυρίου υἱωνοὶ Ἰούδα, τοῦ κατὰ σάρκα λεγομένου αὐτοῦ ἀδελφοῦ· οὓς ἐδηλατόρευσαν ὡς ἐκ γένους ὄντας Δαυίδ. τούτους ὁ ἠουοκᾶτος ἤγαγεν πρὸς
